[3] Ὁ Boissonade, ἔνθ' ἀνωτέρω σελ. 453, πιστεύει ὅτι καὶ τοῦτο τὸ *Αὐλικάλαμος* εἴρηται αἰνιγματωδῶς.

τοῦ *Εὐσταθίου Μακρεμβολίτου* [1]. Ἡ συλλογὴ τοῦ Hilberg ἐγένετο κατὰ τὸ ὑπ' ἀριθ. *531* χειρόγραφον τῆς Μαρκιανῆς Βιβλιοθήκης καὶ τὸ ὑπ' ἀριθ. *924* τοῦ Βατικανοῦ, περιέχει εἴκοσι καὶ ἓν τὸ ὅλον αἰνίγματα, ἕνδεκα αὐτοῦ τοῦ Εὐσταθίου Μακρεμβολίτου, δύο τοῦ Αὐλικαλάμου καὶ ἐννέα ἀνώνυμα. Τὰ αἰνίγματα τοῦ Εὐσταθίου Μακρεμβολίτου συνοδεύονται ὑπὸ ἐμμέτρων λύσεων *τοῦ φιλοσοφικωτάτου καὶ ῥητορικωτάτου πρωτοσυγκέλλου Μαξίμου Ὀλοβόλου* [2]. Ταῦτα μετὰ τῶν λύσεων τοῦ Ὀλοβόλου ἐπανεξέδωκεν ὁ *M. Treu* [3] βελτιώσας πολὺ τὸ κείμενον, ἅτε συμβουλευθεὶς τέσσαρα νέα χειρόγραφα.

Τέλος συλλογὴν ἐξ εἴκοσι καὶ πέντε αἰνιγμάτων, προτάξας καὶ προδιοίκησιν, ἐδημοσίευσεν ὁ ἡμέτερος πολυφίλητος καὶ γεραρὸς καθηγητὴς κ. *Σπυρίδων Λάμπρος*, ἐν τῷ *Δελτίῳ τῆς Ἱστορικῆς καὶ Ἐθνολογικῆς Ἑταιρείας* [4], κατὰ τὸν ὑπ' ἀριθ. *347* κώδικα τῆς ἐν Ἁγίῳ Ὄρει γεραρᾶς μονῆς τοῦ Διονυσίου.

---

[1] Ὁ πλήρης τίτλος τῆς ἐκδόσεως ἔχει ὡς ἑξῆς: Εὐσταθίου πρωτονοβελισσίμου τοῦ Μακρεμβολίτου τῶν καθ' Ὑσμίνην καὶ Ὑσμινίαν Λόγοι ΙΑ'. Eustathii Macrembolitae protonobilissimi de Hysmines et Hysminiae amoribus libri XI. Recensuit Isidorus Hilberg. Accendunt ejusdem auctoris aenigmata cum Maximi Holoboli Protosyngelli solutionibus nunc primum edita. Vindobonae MDCCCEXXVI. Τὰ αἰνίγματα καὶ αἱ λύσεις αὐτῶν κατέχουσι τὰς σελίδας 203-214.—Περὶ τῆς ἡλικίας καὶ τοῦ ὀνόματος τοῦ ποιητοῦ τοῦ ἐν λόγῳ ἐρωτικοῦ δράματος ἰδὲ ὅσα λέγει ὁ Hilberg ἐν τῷ *praefatio* σελ. VII-XI. Πρβλ. καὶ *Σπυρ. Λάμπρου περὶ ἀνυπάρκτων ὀνομάτων, ἐν Παρνασσῷ*, τόμ. Α' σελ. 501-2.—Πλειότερα ἴδε ἐν Geschichte der Byzantinischen Litteratur von Justinian bis zum Ende des Oströmichen Reiches (527-1453) von Karl Krumbacher Zweite Auflage A. Erhard — H Celzer. München 1897, σ. 764-766, ὅπου καὶ περὶ τοῦ ὕφους τοῦ Εὐσταθίου Μακρεμβολίτου καὶ τῶν ἐκδόσεων, βοηθημάτων καὶ μεταφράσεων τοῦ ἔργου αὐτοῦ.

[2] Περὶ τούτου ἰδὲ ὀλίγα τινὰ ἐν τῇ αὐτῇ ἐκδόσει τοῦ *Hilberg, praefatio* σελ. X. Πλείονα ἐν Geschichte der Byzantinischen Litteratur von *K. Krumbacher* ect. σελ. 770-773, ἔτι *M. Treu:* Manuel Holobolos ἐν Byzantinische Zeitschrift von K. Krumbacher Τόμ. V. σελ. 538-559 ἔνθα καὶ ἀνεκδότων τοῦ Ὀλοβόλου δημοσίευσις.

[3] Eustathii Macrembolitae, quae ferentur aenigmata edidit Maximilianus Treu Gymnasialprogramm, Breslau 1897.

[4] Τόμ. Β', σελ. 152-166. Τὸ ὑπ' ἀριθ. Γ' τῆς συλλογῆς ταύτης ἀνεδη-

Τοῖς αἰνίγμασι τῶν συλλογῶν τούτων προςθῶμεν καὶ ἄλλα δύο ἐκδεδομένα ὑπὸ τοῦ κ. *Κων. Σάθα*[1] κατὰ τὸ ὑπ' ἀριθ. *395* ἑλλην. κώδικα τῆς Ἐθνικ. τῶν Παρισίων βιβλιοθήκης, γεγραμμένα ἐν φράσει κοινῇ καὶ ἀνήκοντα, κατὰ τὴν εἰκασίαν τοῦ ἐκδότου, τῷ Μιχαὴλ Ψελλῷ, προσθῶμεν ἔτι καί τινα σποράδην δεδημοσιευμένα καὶ οὕτως ἔχομεν πλήρη τὸν κατάλογον τῶν μέχρι τοῦδε εἰς τύπον ἐλθόντων Βυζαντηνῶν αἰνιγμάτων, τὰ ὁποῖα εἶναι πάντα, πλὴν τῶν ὑπὸ Σάθα ἐκδοθέντων, ἔμμετρα, πεποιημένα εἰς χωλιάμβους συνήθως, ὀλίγα δὲ εἰς ἡρωελεγεῖα[2] πολιτικοὺς στίχους,[3] καὶ ἑξαμέτρους[4].

Ἡμεῖς ἐπὶ τῇ ἰδέᾳ ὅτι δέον νὰ δοθῇ προσοχὴ εἰς πᾶν ὅτι ἀφορᾷ τὴν φιλολογίαν καὶ ἐν γένει τὸν βίον τῶν Βυζαντηνῶν, τῶν μεσοχρονίων δῆλον ὅτι Ἑλλήνων, παρέχομεν τὴν κατωτέρω μικρὰν συλλογὴν Βυζαντηνῶν αἰνιγμάτων ἐκ τῶν κωδίκων τῆς ἡμετέρας Ἐθνικῆς Βιβλιοθήκης. Τρεῖς κώδικες ὑπάρχουσι ἐν τῇ ἀμέσως προμνημονευθείσῃ βιβλιοθήκῃ περιέχοντες αἰνίγματα, οἱ ὑπ' ἀριθ. 444, 1118, 1883. Ὁ ὑπ' ἀριθ. 444 γέγραπται ἐπὶ χάρτου κοινοῦ, ἀρχομένης τῆς ΙΘ'. ἑκατονταετηρίδος, περιέχει δὲ ὡς ἐπὶ τὸ πολὺ ὕλην ἐκκλησιαστικῆς φιλολογίας καὶ ἐν σελίδι 776^{β} πέντε αἰνίγματα, ὧν τὰ δύο πρῶτα σημειοῦνται ὡς τοῦ Ψελλοῦ, τὰ δὲ λοιπὰ τοῦ *Νικολάου Βόδα (;)* Τὰ φερόμενα ἐπ' ὀνόματι τοῦ Ψελλοῦ δὲν εἶναι εἰμὴ μεταφορὰ εἰς τὸ καθ' ἡμᾶς ἰδίωμα τῶν ὑπ' ἀριθ. α' καὶ γ' ὑπὸ τοῦ Φαβρικίου καὶ Boissonade δημοσιευθέντων αἰνιγμάτων τοῦ πολυγραφωτάτου Βυζαντηνοῦ λογίου τοῦ XII αἰῶνος. Ἄγνωστον ὑπὸ τίνος ἐποιήθη ἡ μεταφορὰ αὕτη, ἴσως ἐφιλοπονήθη ὑπὸ τοῦ βιβλιογράφου τοῦ κώδικος εἰς ὃν ἀνήκουσι, φαίνεται, καὶ ἄλλα ἐν αὐτῷ ἔμμετρα. Ἰδοὺ ἡ μεταφορά :

μοσίευσε μετὰ λύσεως ὑπὸ τοῦ ἰδίου ἐπενεχθείσης ὁ κ. *Ἀθ. Ι. Σπυριδάκις* ἐν τῇ *Ἐπετηρίδι τοῦ Φιλολογικοῦ Συλλόγου Παρνασσοῦ*, ἔτος Ε' 1901, σελ. 176.

[1] Μεσαιωνικὴ βιβλιοθήκη. Τομ. Ε'. — Μιχαὴλ Ψελλοῦ ἱστορικοὶ λόγοι, ἐπιστολαὶ καὶ ἄλλα ἀνέκδοτα σελ. 569-70.

[2] Ψελλός, ἐν συλλογῇ Boissonade, ἀριθ. δ', ε', ς'.

[3] Ψελλός, αὐτόθι, α', β', γ', Μεγαλομίτης, αὐτόθι, γ', δ', λθ', κθ'.

[4] Ἀδέσποτον, αὐτόθι, — *αἴνιγμα εἰς τὸ ὄργανον διὰ στίχων ἡρωϊκῶν*, συλλογὴ Hilberg,—ΚΕ'. συλλογὴ Σ. Λάμπρου.

(Α) Εἶν' ἕνα ζῷον λογικὸν κ' ἐδῶ κ' ἐκεῖ γυρίζει,
'μάτια δὲν ἔχει καὶ θωρεῖ, χωρὶς πόδια βαδίζει,
καὶ κεφαλὴν δὲν ἀποκτᾷ, καὶ τέλειον τὴν γνῶσι,
δίχως καρδιά, δίχως κοιλιά, δίχως φαγὶ καὶ πόσι.
Στόμα δὲν ἔχει καὶ 'μιλεῖ, χωρὶς χέρια καὶ πιάνει.
Ὅλα τὰ μέλη λείπουσιν, ὅλα σωστὰ τὰ κάνει[1].

(Γ) Εἶν' ἕνας γέροντας καὶ νηός, σωστὸς καὶ μαραμένος
'ψηλὸς πολλὰ καὶ χαμηλός, ἄστατος καὶ στημένος,
ἄσπρος καὶ μαῦρος πάντοτε, γιατρὸς καὶ ἀρρωστιάζει,
ὠφέλιμος καὶ βλαπτικός, καὶ παίρνει καὶ φυλάγει.

Ὁ ὑπ' ἀριθ. *1118* κῶδιξ γεγραμμένος ἐπὶ χάρτου τουρκικοῦ κατὰ τὰ πρῶτα ἔτη τοῦ ΙΗ' αἰῶνος, περιέχει διάφορα ἐκ τῶν τοῦ *Γρηγορίου Ναζιανζηνοῦ, Ψελλοῦ, Λέοντος Σοφοῦ, Συμεὼν Μαγίστρου τοῦ Σήθ, Θεοφίλου Κορυδαλέως*, ἀνωνύμων κλ. ἐν σελίδι δὲ 195ν ὀκτὼ *αἰνίγματα πρὸς βασιλέα*, ἀνήκοντα τῷ Ψελλῷ, ἐκ τούτων τυγχάνουσι δεδημοσιευμένα τρία[2], τὰ δὲ λοιπὰ δημοσιεύονται κατωτέρω ὑπ' ἀριθ. Α', Β', Γ', Δ', Ε'. Τέλος δὲ ὁ ὑπ' ἀριθ. *1183* κῶδιξ εἶναι ὡσαύτως χάρτινος γεγραμμένος περὶ τελευτῶσαν ΙΗ'. ἑκατονταετηρίδα, περιέχει δὲ διάφορα ἔμμετρα ἑλληνιστὶ καὶ φραγκιστί, περικοπὴν ἐκ τῆς τοῦ *Μανασσῆ Χρονικῆς Συνόψεως*, καὶ ἐν φύλλοις 174α-182β *αἰνίγματα κατὰ τὴν ἑλληνικὴν διάλεκτον διὰ στίχων σοφώτατα πάνυ καὶ ὡραιότατα*[3]. Τὰ αἰνίγματα τοῦ τελευταίου κώδικος δὲν εἶναι ὅλα Βυζαντηνά, εἶναι συμπεφυρμένα τούτοις καί τινα ἀρχαίων ποιητῶν, τῆς Σαπφοῦς, τῆς Κλεοβούλης εἴτε Κλεο-

---

[1] Ἐδημοσιεύθη καὶ ὑπὸ *Α. Ι. Σπυριδάκι* ἐν τῇ *Ἐπετηρίδι Παρνασσοῦ*, ἔτος Ε' (1901), σ. 152, ἐκ χειρογράφου τῆς ἐν Ἁλμυρῷ Φιλαρχαίου Ἑταιρείας *Ὄθρυος* κατὰ τὸν ΙΗ' αἰῶνα γεγραμμένου. Ὁ αὐτὸς *Α. Ι. Σπυριδάκις* ἐκ τοῦ αὐτοῦ χειρογράφου ἐδημοσίευσεν αὐτόθι καὶ δύο αἰνίγματα τοῦ Νικολάου Βόδα, ἀπαντῶντα καὶ ἐν τῷ ἀνωτέρω κώδικι τῆς ἐθνικῆς Βιβλιοθήκης.

[2] Φαβρίκιος ἔνθ' ἀνωτέρω, Boissonade ἔνθ' ἀνωτέρω ἀριθ. α', β', γ'.

[3] Πλήρη τὴν ἔκφρασιν τῶν ὑπ' ἀρ. 444, 1118, 1183 κωδ., ἴδε ἐν τῷ *καταλόγῳ τῶν χειρογράφων τῆς ἐθνικῆς βιβλιοθήκης τῆς Ἑλλάδος τοῦ Ἰωάννου καὶ Ἀλκιβιάδου Σακκελλίωνος, σ. 83, 201, 215.*

βουλίνης, Παναρκοῦς κλ. [1] Ἐκ τῶν Βυζαντηνῶν πάλιν, συμποσουμένων εἰς τεσσαράκοντα καὶ ἓν δημοσιεύομεν μόνον δέκα, τὰ ὑπ' ἀριθ. Ϛ', Ζ', Η', Θ', Ι', ΙΑ', ΙΒ', ΙΓ', ΙΔ', ΙΕ', διότι τὰ ἄλλα τριάκοντα καὶ ἓν ἐξεδόθησαν ἤδη ὑπὸ τοῦ Boissonade [2].

Περιττὸν θεωρῶ νὰ ἀναλύσω τὰ κατωτέρω δημοσιευόμενα Βυζαντηνὰ αἰνίγματα, νὰ παραβάλω ταῦτα πρὸς τῶν ἀρχαίων καὶ νεωτέρων Ἑλλήνων, διότι τὴν τοιαύτην ἐργασίαν ὑπεσχέθη νὰ διεξαγάγῃ ὁ Σ. καθηγητὴς ἡμῶν κ. *Σπυρίδων Λάμπρος*, ὁ καὶ πάντα τὰ σῳζόμενα Βυζαντηνὰ αἰνίγματα ἐκδώσων. Ὅθεν παρατηρῶ μόνον ὅτι τὰ κατωτέρω δημοσιευόμενα εἶναι γραμματικῶς πλημμελῆ, ἀλλ' οὐχὶ τόσον ὅσον εἶναι ἡμαρτημένα ὑπὸ μερικὴν ἔποψιν, διότι ἐξαιρέσει τῶν ὑπ' ἀριθ. Α', Ε', Ζ', Η', Θ', ΙΒ', ΙΓ', πεποιημένων εἰς χωλιάμβους οὐχὶ πάντοτε κανονικούς, τὰ λοιπὰ οὐδὲν ὡρισμένον μέτρον ἔχουσιν, διότι ἐν ᾧ ὁ πρῶτος στίχος εἶναι φέρ' εἰπεῖν χωλίαμβος, ὁ δεύτερος εἶναι πολιτικός, ὁ τρίτος ἡρωελεγειακὸς ἢ οὐδὲν μέτρον ἔχει. Τὸ ὑπ' ἀριθ. Δ' εἶναι ἡρωελεγεῖον.

Ὑπολείπεται ἡμῖν νὰ εἴπωμεν περὶ τῆς μεθόδου ἣν ἠκολουθήσαμεν ὡς πρὸς τὴν ὀρθογραφίαν τῶν κειμένων. Ἐτηρήσαμεν τὰς γραφὰς τῶν κωδίκων, ὅπου ὀρθογραφικὰ λάθη δὲν ἀπαντῶσιν, εἰμὴ ὀλίγα τινα ἐπουσιωδέστατα. — Τὰ ἐντὸς ὀρθογωνίων παρενθέσεων συμπληρώματα εἶναι ἡμέτερα, ὅπως καὶ οἱ ἐπὶ τῆς κεφαλίδος τῶν αἰνιγμάτων ἀριθμοί.

Α'

Λαίλαψ με κινεῖ, καὶ μετάγει τοῦ τόπου,
τέσσαρ' ἔχω γράμματα συλλαβὴν μίαν·
ἂν οὖν τὸ πρῶτον ἐξέλῃς τῶν γραμμάτων,
εὕρεις με τὸν νοῦν ἔχοντα, αἴσθησιν μίαν·
Ἂν οὖν καὶ τὸ δεύτερον ἐξέλῃς πάλιν,
ζῶον εὕρεις με τετράπουν πολυφάγον.

---

[1] Δεδημοσιευμένα ἐν τοῖς *Ἀθηναίου Δειπνοσοφισταῖς*, βιβλ. Χ. 448.

[2] Εἰσὶ τὰ ἑξῆς: Ψελλὸς *α'*, *ια'*, (ὅπερ εἶναι τὸ αὐτὸ μὲ τὸ *εἰς τένταν* τῆς συλλογῆς Hilberg) *ιδ'*, *ζ'*.—Μεγαλομίτης *α'*, *β'*, *γ'*, *δ'*, *ζ'*, *ι'*, *ια'*, *ιγ'*, *ιδ'*, *ιε'*, *ις'*, *ιζ'*, *ιη'*, *κ'*, *κβ'*, *κδ'*, *κε'*, *κς'* (ὅπερ εἶναι τὸ αὐτὸ μὲ τὸ ἐπ' ὀνόματι τοῦ Ψελλοῦ ὑπ' ἀρ. *κ'*. καὶ τὸ *εἰς ζυγὸν* τῆς συλλογῆς Hilberg). *κζ'*, *κη'*, *λ'*, *λα'*, *λβ'*, *λδ'*, *λς'*, *λζ'*, *μα'*.

Β'

Μέσον ἵσταμαι τῆς γαίας καὶ τοῦ πόλου
τρίγραμμός εἰμι, συλλαβὴν μίαν φέρω·
ὁ εὑρὼν ἄν[θρωπ]ος· ὁ δὲ μὴ οὐκ ᾔδει ἑαυτόν.

Γ'

Στείχων τις ὁδόν, στῖχον ᾠδῶν ἐποίει·
καὶ στείχων στῖχον ᾖδε πάνυ ἀνώμαλον·
καὶ ᾖδεν ὡς ἀνώμαλος ἡ ὁδὸς αὐτοῦ.

Δ'

Ὕλη μὲν μ' ἔτεκε· ἐκαινούργει δὲ σίδηρος·
εἰμὶ δὲ μουσάων μυστικὸν ἐκδοχεῖον·
κλειομένη σιγῶ, λαλέω ὅταν ἐκπετάσῃς με·
κοινωνὸν τὸν Ἄρην ἔχουσα μόνον λόγων.

Ε'

Γυνὴ ζύμη βέλτιστε καὶ σάτα τρία
ἔχουσιν ἐξήγησιν ἀκριβεστάτην.
Γυνή μέν ἐστι προσφυῶς ἐκκλησία·
ζύμη δὲ θεῖος καὶ θεόγραφος λόγος·
ἄλευρον ἡ φέρουσα τοῦτον καρδία·
ψυχῆς δὲ τριμέρια τὰ τρία σάτα:
ἐν οἷς ὁ θεῖος συμφυραθείς πως λόγος,
ὅλην συνεζύμωσε τὴν βροτῶν φύσιν [1].

ς'

Ξύλινος ἡ κλείς, κἀξ ὑδάτων ἡ πύλη,
ὁ μὲν λαγωὸς ἐξέφυγεν, ὁ κυνηγὸς δ' ἔσχε [2].

---

[1] Οἱ ἓξ τελευταῖοι στίχοί εἰσι προφανῶς ἡ ἔννοια τοῦ αἰνίγματος.

[2] Ἐν τῇ συλλογῇ τοῦ Boissonade εὕρηνται αἱ ἑξῆς μεταλλαγαὶ τοῦ αἰνίγματος τούτου:

Ξύλου μὲν ἡ κλείς, ἡ δὲ κιγκλὶς ὑδάτων,
Διέδρα λαγώς, καὶ κύνον συνεσχέθη. (Ψελλὸς η'.).

Ξύλον τὸ κλειδίν, ὕδωρ τὸ κατηνάριν·
ὁ μὲν λαγὼς ἐκλύτωσεν, ὁ κυνηγὸς ἐσχέθη (Μεγαλομ. η'.).

Ἡ δευτέρα μεταλλαγὴ φαίνεταί μοι μεταφορὰ εἰς τὸ ἁπλοῦν τοῦ ὑφ' ἡμῶν δημοσιευομένου αἰνίγματος.

Ζ′

Ἄψυχον εἰμί, καὶ ψυχὰς πολλῶν σῴζω,
ἑπταστοιχίζον συλλαβὰς φέρω δύω,
ἐὰν τὸ πρῶτον ὑφέλῃς τῶν γραμμάτων,
εὕρεις με πηγνύμενον εἰς πόλου πλάτος.

Η′

Ἵππον εἶδον τρέχοντα λευκῷ πεδίῳ,
τρεῖς δ᾽ ἄνδρες ἄοπλοι κρατοῦσι τοῦτον,
ὄπισθεν ἄλλοι δύω ἀκολουθοῦσιν,
ἂν μὴ τοῦ ἵππου κάρα ᾖ ἐσχισμένη,
τῶν ποδῶν αὐτοῦ οὐ φαίνονται τὰ ἴχνη.

Θ′

Ἄπληστόν εἰμι θηρίον καὶ παμφάγον,
ἐπὰν δὲ φάγω τὴν τροφὴν ἥν περ λάβω,
θνήσκω παρευθὺς κείμενον ἐπ᾽ ἐδάφους.

Ι′

Μήτηρ μαλωτός, τίκτει παῖδ᾽ ἀμάλωτον,
παῖς δὲ ἡ ἀμάλωτος τίκτει παῖδα μαλωτόν.

ΙΑ′

Ἄβροτόν εἰμι, καὶ γλυκὺ παρὰ πάντα,
ὁ μὴ θέλων θέλει με, κἀγαπᾷ ὁ μισῶν με,
ὅς δέ με πεφίληκε πενίαν φέρει.

ΙΒ′

Τὴν γῆν πιαίνω καὶ κινῶ τὰς ὁλκάδας,
ἐν τέτρασι γράμμασι συλλαβὴν φέρων[1],
ἂν γοῦν κεφαλὴν ἀφέλῃς μου τὴν πρώτην,
εὕροις με μέλος κοινὸν ἐν πᾶσι ζώοις,
εἰ δ᾽ αὐτὸν τὸν τράχηλον προσαφαιρήσεις,
ζῶον εὕροις με μέγα τῶν ἐδωδίμων.

---

[1] Ἐν τῷ κώδικι μετὰ τὴν λέξιν *συλλαβὴν* ἕπεται ἡ λέξις *μίαν*, ἣν ἐξωβέλισα τοῦ μέτρου χάριν.

ΙΓ'

Ἐκ γῆς τὴν πλάσιν ὥσπερ ὁ Ἀδὰμ ἔσχον,
πυρίκαυστος γέγονα ὡς οἱ τρεῖς παῖδες,
ζῶσα μὲν ἐδρόσισα ἀν[θρώπ]ους πάντας,
θανούσης δ' οὐδεὶς συνήθροισεν ὀστᾶ μου.

ΙΔ'

Κλέπται εἰσῆλθον, τοῦ συλῆσαι τὴν πόλιν,
καὶ ἡ μὲν πόλις ἐκ τῶν θυρίδων ἐξέφυγεν,
οἱ δὲ πολῖται κρατηθέντες, τῷ πυρὶ παρεδόθησαν.

ΙΕ'

Ἐμὲ ἀδελφέ, καὶ υἱὲ τῆς ἐμῆς γυναικός,
πορεύθητι, καὶ εἰπὲ τῷ σῷ, καὶ ἐμῷ πατρί,
«ἀσπάζεταί σε ὁ υἱός σου, ὁ ἀνὴρ τῆς γυναικός σου».

Νῖκος Α. Βέης

ΕΠΙΣΤΟΛΑΙ ΑΝΕΚΔΟΤΟΙ ΜΑΚΑΡΙΟΥ

ΤΟΥ ΕΝ ΠΑΤΜΩι ΦΡΟΝΤΙΣΤΗΡΙΟΥ

ΓΥΜΝΑΣΙΑΡΧΟΥ, ΚΑΙ ΤΟΥ ΜΑΘΗΤΟΥ ΑΥΤΟΥ ΚΑΙ ΦΙΛΟΥ

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΓΟΡΔΑΤΟΥ ΤΟΥ ΧΙΟΥ

Ἐγκώμιον ἀντάξιον τοῦ σοφοῦ διδασκάλου ἔπλεξεν ὁ περικλεὴς τῶν Ἱεροσολύμων Πατριάρχης Ἐφραὶμ ὁ Ἀθηναῖος διὰ τῶν ἑξῆς «Γυμνασιάρχης καὶ καθηγεμὼν τοῦ κατὰ τὴν νῆσον Πάτμον Ἑλληνομουσείου, ὁ πολὺς μὲν τῇ σπουδῇ τῶν θύραθεν, ὡς οὐδεὶς ἄλλος, μέγας δὲ τῇ ἀρετῇ περὶ τὰ θεῖα, οἷα εἰσὶ καταφανῆ τεκμήρια ἀμφοῖν τοῖνδε προτερημάσοιν οἵτε ἔμψυχοι κήρυκες παρ' αὐτῷ φοιτήσαντες, ἔτι περιόντι ἐν τῷ μετὰ σώματος βίῳ, τότε παρ' αὐτοῦ συνταχθέντα καὶ ἐκφωνηθέντα συγγραμμάτια . . . ὅθεν σιωπῇ μᾶλλον τιμάσθω τὰ τοῦ ἀνδρὸς προτερήματα, εἴπερ κατ' ἀξίαν ἀδυνατεῖ μοι ὁ κάλαμος εὐφημῆσαι».

Περὶ δὲ τοῦ βίου αὐτοῦ γινώσκομεν ὅτι τὸ γένος ἧλκεν ἐκ τοῦ τῶν εὐπατριδῶν τῆς Πάτμου οἴκου τῶν Καλογεράδων, νεώτατος δὲ ἀπῆρεν εἰς βασιλεύουσαν ἔρωτι παιδείας καὶ ἐπὶ πολλὰ ἔτη ἐχρημάτισεν ἀρχιδιάκονος τοῦ Νικομηδείας, ὅστις τοσοῦτον αὐτὸν ἐξετίμα καὶ ἠγάπα, ὥστε πολλάκις τὸν ἐβίασε νὰ τῷ παραχωρήσῃ τὸν θρόνον. Ἀλλ' ὁ Μακάριος ἐν ἄκρᾳ μετριοφροσύνῃ ἀπέκρουσε τὴν γενναίαν προσφορὰν καὶ ἐπιστρέψας εἰς τὴν πατρίδα, ἵδρυσε τὴν περιλάλητον σχολήν, ἐξ ἧς ἀνεδείχθησαν πολλοὶ καὶ ἱκανοὶ διδάσκαλοι τοῦ γένους[1]. «Πολλοὺς δὲ φωτίσας ὁ σοφὸς οὗτος διδάσκαλος, λέγει ὁ Ἐφραίμ, μέχρι τοῦ 1737, πάθει ἀρθριτικῷ συνεχόμενος καὶ τῆς ποδαλγίας μάλιστα, τὸ μακάριον τέλος ἐν Πάτμῳ ἐδέξατο τῇ 17 Ἰανουαρίου, πένθος διὰ τὴν αὐτοῦ στέρησιν πᾶσιν καταλιπὼν ἀπαραμύθητον».

---

[1] Περὶ Μακαρίου ὅρα Ζαβίραν. Σαθ. Μεσ. βιβλ. Τόμ. Γ'. Ἰω. Σακελλίωνος Πατμιακ. βιβλιοθήκην.

Περὶ δὲ τοῦ Γορδάτου τοῦ Χίου ἐλάχιστα μέχρι τοῦδε ἦσαν γνωστὰ καὶ ταῦτα ἐκ τῶν συντόμων σημειώσεων τοῦ Μελετίου ἐν τῇ Ἐκκλ. αὐτοῦ ἱστορίᾳ, ἅτινα ἐκεῖθεν μετέγραψεν ἐν τοῖς Χιακοῖς ὁ Α. Βλαστός, ὅτι δηλαδὴ «ἐν Χίῳ γεννηθεὶς καὶ Λίλας ἐπονομαζόμενος ἀνεδείχθη σοφὸς περὶ τὴν ἀστρονομίαν καὶ ἐξέδωκεν ἐν ἔτει 1710 σύγγραμμα *περὶ χρήσεως σφαιρῶν*. Εἶχε δὲ συνάξει εἰς τὴν βιβλιοθήκην του ὅλας τὰς ἐκδόσεις τοῦ Ἄλδου Μανουτίου, τὰς ὁποίας ἄφησεν ἀποθανὼν εἰς τὴν βιβλιοθήκην τῶν ἁγίων Βικτώρων, ἐπιγεγραμμένας τῷ ἰδίῳ ὀνόματι».

Τῶν δύο τούτων ἀνδρῶν ἐπιστολαὶ σώζονται ἐν τῇ Πατμιακῇ βιβλιοθήκῃ, κατὰ Σακελλίωνα, τοῦ μὲν Μακαρίου 250 πρὸς διαφόρους, τοῦ δὲ Γορδάτου τοῦ Χίου πρὸς Μακάριον τριάκοντα ὀκτώ. Ἐκ τούτων κατηρτίσθη συλλογὴ ἐξ εἰκοσιεπτὰ ἐπιστολῶν τοῦ Μακαρίου πρὸς τὸν Γορδάτον καὶ εἰκοσιτεσσάρων ἀπαντήσεων τοῦ Γορδάτου πρὸς τὸν Μακάριον. Ἕπονται δὲ τούτοις πέντε ἐπιστολαὶ τῶν μαθητῶν αὐτοῦ Βασιλείου τοῦ Κουταλιανοῦ, Καλλινίκου τοῦ Τραπεζουντίου, Ἰακώβου καὶ Ἀρσενίου τῶν μοναχῶν πρὸς τὸν αὐτὸν Κωνσταντῖνον ἐπιγραφόμεναι, καὶ τελευταῖον τέσσαρες ἐπιστολαὶ τοῦ διαδεξαμένου τὸν Μακάριον ἐν τῇ ἐπιστασίᾳ τοῦ Πατμιακοῦ φροντιστηρίου, Γερασίμου τοῦ Βυζαντίου.

Ἐκ τῆς συλλογῆς λοιπὸν ταύτης, περιελθούσης εἰς χεῖράς μου, δημοσιεύω σήμερον τὰς ἀξιολογωτέρας, προτάσσων σύντομον περίληψιν τοῦ περιεχομένου ἐκείνων, ὅσαι συντελοῦσι μὲν πρὸς διαφώτισιν αὐτῶν, δὲν δημοσιεύονται δὲ ἐνταῦθα ἐλλείψει χώρου. Ἐκ τῆς ἀλληλογραφίας ταύτης μανθάνομεν ὅτι ὁ Κωνσταντῖνος Γορδάτος ἦν ἐκ γένους λαμπροῦ καὶ πλουσίου καὶ ὅτι πατὴρ αὐτοῦ *ὤφθη σωτὴρ τῆς Χίου ἐν ἀκμῇ κινδύνων τῶν ἐσχάτων*, ὡς γράφει ὁ Μακάριος, αὐτὸς δὲ ἐξηκολούθει εὐεργετῶν τοὺς συμπολίτας καὶ συντρέχων εἰς τὰ καλὰ καὶ ὠφέλιμα τῷ ἑλληνικῷ γένει, ἂν καὶ ἡ τύχη ἐπλήγωσεν αὐτὸν δεινῶς, ἀποστερήσασα τῶν δύο αὐτοῦ θυγατέρων. Ἰδοὺ πῶς ἐξιστορεῖ τὴν συμφορὰν προκληθεὶς ὑπὸ τοῦ Μακαρίου διὰ προτέρας ἐπιστολῆς.

Ὡς ἐν καιρῷ μοι τὰς στερήσεις καὶ ἕξεις ἐπετραγῴδησας, ἑσμὸν ἐπισωρεύσας ἕξεων τῷ ἐρημίαν παντελῆ καταγνόντι τοῦ βίου. Σκηνὴν γὰρ τῷόντι καὶ δράματα καθ' ἡμᾶς ὁ δαίμων ποιησάμενος οὐ παύ-

σεται ἐς τ' ἂν τὸ τοῦ ἡλίου φῶς εἰσορῶμεν, ὡς μὴ ὤφελε ταῖς ἀδιακόποις παλαίων στερήσεσι. Τῶν γὰρ λογικῶν ἕξεων ἅπαξ ἄκροις γευσάμενον χείλεσιν, οὐκ ἀνῆκε ταῖς ἐπαλλήλοις τοῦ βίου φοραῖς τὴν δρμὴν ἀναστέλλων. Ἐστέρησε πλούτου οὐχ ἅπαξ, οὐδὲ δίς, ἀλλὰ πολλάκις τε καὶ ποικίλως, οὐδ' ἁπλῶς ἀλλὰ μυρίοις τοῖς πόνοις καὶ θλίψεσι, καὶ διὰ τῶν οἰκείων αὐτῶν. Τὸ δὲ δὴ κεφάλαιον δυοῖν θυγατροῖν μόνοιν γενομένοιν ἐμοί, οὐδὲν τῶν ὅσ' ἀγαθ' ἀνθρώποις κρίνεται λειπομένοιν, τὴν μὲν δέκατον τρίτον ἔτος ἀνύουσαν, καὶ πρὸς γάμον ἤδη ἑτοίμως ἔχουσαν, τοῦ ὑμεναίου ὅσον οὔπω τοῖς ὠσὶν ἡμῶν εὐηχουμένου, ἀωρὶ τῶν ἡμετέρων χειρῶν ἀφήρπασε. Τὴν δ' ἑτέραν ἐκδεδομένην ἤδη ἀνδρί, οὐκ ἀλλοτρίῳ καὶ τούτῳ, ἀλλὰ τὸ τοῦ γαμβροῦ Στεφανῇ ἀδελφιδῷ ἵν' εἴη κἀκείνῳ τῆς ἀτεκνίας θεράπευμα, τὴν λοιπὴν ἐλπίδα, τὴν μόνην ἄγκυραν, τὴν βακτηρίαν τοῦ γήρως, τῆς δυστυχεστάτης οἰκίας τὸ ἐναπολειπόμενον λείψανον, τὸν ἀμυδρὸν σπινθῆρα καὶ παμφαῆ πυρσὸν τῶν ἡμετέρων ὀφθαλμῶν, τὴν παραμυθίαν οὐ μόνον ἐμοῦ, ἀλλὰ καὶ τῶν οἰκείων ἁπάντων, ἔγκυον ἤδη οὖσαν καὶ πρὸς τόκον σπεύδουσαν, τοῦ δεκάτου ἕκτου τῆς ἡλικίας ἐπιβαίνουσαν ἔτους, οὐκ οἶδα μεθ ὅσης ἀναλγησίας, οἴμοι, οὐκ ἀνέχομαι λέγειν ὅπερ ὑπέστην δρᾶν, νόσῳ δεινῇ στερήσας τῶν ἡμετέρων ὀμμάτων, ὡς ὤφελε μᾶλλον τὸ φῶς, ἀφείλετο, ἐρημίαν διηνεκῆ καὶ στέρησιν ἄληκτον κλαυσομένοις λιπών. Τοιοῦτος δ ταῖς ἕξεσι βρίθων, καὶ μάλα σοι ὑπ' αὐτῶν πιεζόμενος ἐγὼ καὶ τῷ βάρει τούτων κινδυνεύων ὑποβρύχιος εἶναι πελάγει τὸ τῆς οἰήσεως, ὡς μικροῦ δεῖσθαι καὶ τοῦ ὑποστηρίζοντος. Μία καὶ μόνη ἕξις ὦ φίλος ἐμοί, ἧς τὴν στέρησιν εὔχου θερμῶς, ἀπαλλάξει γὰρ πασῶν τῶν ἄλλων στερήσεων, καὶ τῶν ἀλγεινῶν με λυτρώσεται, ζῆν γὰρ ἐκείνων ἐστερημένου ἀνιαρῶς οὐκ ἀνέξομαι.

Ὅλος αὐτῆς **Κωνσταντῖνος.**

Κατόπιν παρακαλεῖ αὐτὸν νὰ δεχθῇ καὶ κατατάξῃ μεταξὺ τῶν μαθητῶν τὸν υἱὸν τοῦ Κοζῆ Βούρου Μιχαήλ, διὰ δὲ τῆς ἑπομένης ἐπιστολῆς συνιστᾷ τὸν ἀνεψιὸν τοῦ ἀρχιερέως τῆς Χίου, ὅστις ἦτο πιθανώτατα ὁ Ἀθανάσιος ὁ ἀποβιώσας ἐν ἔτει 1739.

Ἀδελφιδοῦς οὗτος τοῦ τὴν καθ' ἡμᾶς ποιμαντικὴν ἐπιστασίαν λαχόντος. Ὃς δὴ τῇ βασιλευούσῃ πρὸ πολλοῦ ἐνδιατρίβων, καὶ ταῖς

τῆς ἐκκλησίας ἀλλεπαλλήλοις κλυδωνιζόμενος, δι' ἐμοῦ τοῦτον μαθητιῶντα τῇ ὑμετέρᾳ τελειότητι πέμπεσθαι αἰτεῖ. Κἀγὼ τῇ τε ταύτης περὶ τοῦ πάντας ἀγαθοποιεῖν σπουδῇ θαῤῥῶν, καὶ μηδὲν ἀηδὲς αὐτῇ πιστεύων ἐργάζεσθαι, κἀκείνῳ τε χαριζόμενος, φίλος γὰρ ὁ ἀνὴρ ἐς τὰ μάλιστα, καὶ τῆς παιδείας ὑπὲρ τοὺς νῦν προὔχοντας ἀντιποιούμενος, ὑπείκω ἀόκνως τῷ ἐπιτάγματι καὶ πέμπω τὸν ἄνθρωπον οὐδ' ἀναβαλλόμενος. 'Αντιβολεῖ δὲ μὴ τῇ πόλει τούτῳ γενέσθαι τὴν οἴκησιν, ἀλλὰ τοῖς περὶ αὐτὴν εἴγε ἐγχωρεῖ συγκαταλέγεσθαι, εἰ δ' ὅλως οὐχ οἷόν τε, οἶδε γὰρ κἀκεῖνος ἀκούσας ἐς στενὸν κομιδῇ ἀποκεκλεῖσθαι τὰ κατ' αὐτήν, κᾂν γοῦν τῇ μονῇ ἐνοικίζειν. Τὰ συνήθη τοίνυν πράττουσα ἡ φίλη μοι τελειότης, τοῖς λοιποῖς καὶ τοῦτον συναριθμείτω, καὶ τῷ τῆς φιλοφροσύνης εἰλικρινεῖ διδασκέτω τὸν τῆς ἐμῆς ἀντιλήψεως δεηθέντα, μὴ ἄρα κακῶς εἰκάσαι τῇ μεταξὺ νῶν φιλίᾳ μᾶλλον, ἢ τῇ ἑαυτοῦ ἐλπίσαντα μεγαλειότητι. 'Εμὲ δὲ τοῖς φίλοις ψυχαγωγείτω γράμμασιν· ἀθυμίαν γὰρ οὐ τὴν τυχοῦσαν παρέσχε μοι ἡ προλαβοῦσα αὐτῆς σιωπή. Οὐδὲ γὰρ ἀγνοῶ ὡς ἔφθη λαβοῦσα τὰ ἡμέτερα. Βιώη μοι εἰς μακραίωνας.

Ὅλος ὑμέτερος **Κωνσταντῖνος.**

Δὲν ἦτο δὲ καὶ ἀκίνδυνος ἡ μεταξὺ Χίου καὶ Πάτμου συγκοινωνία, διότι τὴν θάλασσαν ἐλυμαίνοντο ποικίλων ἐθνικοτήτων πειραταί, εἰς δὲ τὰς ἀποκέντρους παραλίας ἐνεδρεύοντες λησταὶ τοῦρκοι, διήρπαζον τὰς ἀποσκευὰς τῶν ὑπὸ τῆς τρικυμίας ζητούντων ἐκεῖ καταφύγιον καὶ ἐφόνευον τοὺς ἐγκαίρως διὰ τῆς φυγῆς ζητοῦντας σωτηρίαν. Ἡ παρὰ πόδας ἐπιστολὴ τοῦ Μακαρίου περιγράφει τοιοῦτον τραγικὸν ἐπεισόδιον.

Πάντων με ἀφείλετο εἰ καὶ τῆς παρακλήσεως καὶ ἡδονῆς καὶ τέρψεως καὶ τῶν ἄλλων ὅσα φίλων τοῖς σοφοῖς σου γράμμασι τῇ εὐτελείᾳ αἰτιᾶσθαι τῇ ἐμῇ, ὁ ἄωρος ἅμα τε καὶ βίαιος τοῦ ἱεροδιακόνου θάνατος, οἶμαι καὶ πρὸ τουτωνὶ τῶν συλλαβῶν ἥκειν τῇ ἱερᾷ σου συνέσει τὸ ὅπως, εἰ δὲ μὴ ἄκουε διὰ βραχέων. 'Απάραντες οἱ περὶ τὸν διάκονον ἐκ τῆς ἡμετέρας βίᾳ ἀνέμων καὶ δίψει προσώκειλαν τῷ κοινῶς καλουμένῳ Βρωμολιμένι ἀμφιβουλητόν. Τῇ δὲ γ' ἐπιούσῃ ἐξελθόντων πάντων τῶν ἐν τῷ πλοίῳ, ἦν λοιπὸς ὁ κυβερνήτης ἐν τῇ νηΐ, ὃς δὴ ἑωρακώς τινας τῶν ἐθνικῶν ἀφ' ὑψηλοῦ μετὰ ὕβρεων κράζον-

τας πρὸς ἑαυτούς, μηδὲν μελήσας, τοὺς αὐτοῦ ἐν τῇ ἀκτῇ ὄντας μετεκαλεῖτο, καὶ δὴ ὑπήκουσον πάντες καὶ ἐπέβησαν τῆς νεὼς πάνυ σπουδαίως· διὸ καί τις προβεβηκὼς τῇ ἡλικίᾳ ἔμεινεν. Οἱ λησταὶ ἄνωθεν λίθοις μὲν τὴν ἀρχὴν ἔβαλλον αὐτούς, ἔπειτα δὲ τοῖς πυροβόλοις ὅπλοις, οἷς ἔτυχον καιρίως τοῦ διακόνου, ὃς καὶ παρ' αὐτῇ τῇ πρώτῃ βολῇ τοῦ ζῆν ἀπηλλάγη, δεύτερος δ' ἐβλήθη καὶ αὐτὸς ὁ νηὸς δεσπότης, τῶν ἄλλων δ' οὐδείς. Διὸ μικρὸν τὸ ἀγκύριον ἀνιμήσαντες, καὶ ὡς πρὸς τοὺς ληστὰς ἀπευθύνειν τὴν ναῦν ἀποκρινάμενοι, ἵνα μὴ πανολεθρίᾳ ὄλοιντο, οὐκ ἀθεεὶ τοῦ ἐπικειμένου θανάτου ἐῤῥύσθησαν. Καὶ δὴ ἐπιδοῦναι τῷ πελάγει μηδ' ὅλως θαῤῥήσαντες διὰ τὴν ἐπικρατοῦσαν τότε τῶν ἀνέμων ὕβριν, ἥψαντο ἑτέρας ἀκτῆς ἀπροσβάτου, ἔνθα νυκτὸς ἐξελθόντες τὸν νεκρὸν ταφῇ παρέδωκαν, τῇ αἰγιαλίτι ψάμμῳ πλαξὶ ταῖς παρατυχούσαις ὅσαις ἐπικρύψαντες. Ἔπειτα ἀφίκοντο ἐνταῦθα τῇ ιδ' τοῦ παρόντος καὶ τῇ ἑξῆς τόντε πεπληγμένον κυβερνήτην ταφῇ παρέδωκαν, κἀκεῖνος γὰρ ἐξεμέτρησε τὸ ζῆν. Καὶ ταῦτα μὲν οὕτως εἰς μικρὰν εἴδησιν. Σὺ δέ μοι παρακλήτωρ γενοῦ τοῖς καθ' αἷμα προσήκουσι τοῦ διακόνου· προτρέπειν δὲ τοῦ λοιποῦ πρὸς τὴν κενὴν μακαρίαν παραιτοῦ. Τῶν σημείων τῆς ἐλευθέρου σου καὶ τιμίας χειρὸς οἶδα σοι πολλὰς τὰς χάριτας, πλὴν ἴσθι ὅτι οἱ περὶ τὸν διάκονον ὑπολαβόντες εἶναι ἐκείνου ἐφόδιον διενείμαντο ἐν ἑαυτοῖς. Διὸ δίδαξον τοὺς οἰκείους τοῦ διακόνου ἵνα μεταπέμψωνται τά τε λοιπὰ τῆς περιουσίας ἐκείνου καὶ ὅσα ἐνέθηκαν ἐν τῷ πλοίῳ τοῦ Μαλτέζου. Παρ' ἡμῖν δὲ οὐδὲ ἴχνος τῶν ἐκείνου ἐκόμισέ τις. Ταῦτα μὲν οὕτως. Ὁ δὲ τοῦ κὺρ Ἀγαπίου ἀσπασμὸς πάντων τούτων τῶν σκυθρωπῶν τὴν ἀθυμίαν ἀπέκρυψε· δι' ὅπηπερ ἂν εἴη πέμψον τὸ παρὸν γραμμάτιον, ἡ δὲ σή μοι τελειότης ἐῤῥώσθω εἰς μακραίωνας. αψκζ' μαρτίου κθ'.

Οἶδε τὸν αὐτῆς **Μακάριον.**

Ἐν τούτοις τὸ τῆς ποδαλγίας πάθος ἀνεφάνη πάλιν δεινότερον τῷ Μακαρίῳ· ἀλλ' ὅμως εὗρε πρόσκαιρον ἀνακούφισιν διά τινος φαρμάκου καταλεγομένου ὑπὸ τοῦ Διοσκορίδου.

Τὴν σὴν λογιότητα ἀσπάζομαι ἐκ ψυχῆς ἐν Κυρίῳ.

Οὐδὲν ἦν τῆς μακρᾶς μου σιγῆς τὸ αἴτιον ὧν σημειοῖ ἐν τοῖς φθάσασι τῶν γραμμάτων, ἀλλὰ πεποίθησις σταθερότητος τῆς σῆς καὶ

διαθέσεως ἀμάχου πρός με τὸν ἐλάχιστον· προσθείην καὶ θροῦν τινα ἀγνωμοσύνης τινὸς τῶν ἀκουστῶν αὐτῆς, δι' ἐκεῖνον καὶ μάλιστα ἀπεκρουσάμην τὸν Νικόλαον λιπαρῶς αἰτοῦντα γράμματα τὰ πρὸς σύστασιν, ὃν οἶδ' ὅτι καὶ πρὸ τοιούτων γραμμάτων τῇ εὐΐκτῳ σου καὶ ἐμφύτῳ διαθέσει χρήσῃ. Ταῦτα μὲν περὶ τούτων, ἐμὲ δὲ ἴσθη προσπαλαίοντα καὶ αὖθις τῇ κλεινῇ ποδαλγίᾳ, προσέβαλεν ὅλαις ὁρμαῖς. Εἴασεν οὐδὲν τῶν μελῶν καὶ ἁρμῶν ἄλυπον, πλὴν ταχὺ διεφορήθην τουτοισὶ τοῖς βοηθήμασι, τὴν ἀρχὴν μὲν ὕδατι θαλαττίῳ μετὰ φύλλων τῆς κοινῆς λεγομένης κουφοξυλίας, ὅπερ ὁ σὸς Γεράσιμος (ὅστις καὶ τὰ μάλιστ' ἀκραιφνῶς ἀσπάζεταί σου τὴν τελειότητα) 'μουρβὲρ-ἀγατζὶ καλεῖ κατὰ τὴν πάτριον αὐτοῦ τουρκιστὶ διάλεκτον. Τοῦ τοιούτου φυτοῦ τὸ φύλλα ἑψηθέντα τῷ θαλαττίῳ ὕδατι ἐπεθέμην τοῖς ἁρμοῖς, ἐπικλύζων συνεχῶς καὶ τῷ ἀποζέματι· εἶτα μετ' ὀλίγον κοχλίας λευκοὺς μικροὺς αὐτοῖς ὀστέοις λειάνας προσεπεθέμην τοῖς πόνοις, καὶ οὔπω παρελθουσῶν πολλῶν ὡρῶν, ἀπολιθοῦται ἐκεῖνο τὸ ἐκ τῶν κοχλιῶν, ὥστε δυσαπάλλακτον εἶναι· διὸ καὶ αὖθις ὕδατι θαλαττίῳ χλιαρῷ μετὰ τῶν προῤῥηθέντων φύλλων διέλυσα τὸ λιθῶδες ἐκεῖνο, καὶ ἑτέρους λειάνας ἀντέθηκα, καὶ οὕτω τρὶς ἢ τετράκις ποιήσας ἀπεσεισάμην τότ' οἴδημα καὶ τὴν ἐκπύρωσιν τῶν τε ποδῶν καὶ τῶν χειρῶν· πρὸς τί δὲ ταῦτα; Χάριν τοῦ εὐγενεστάτου καὶ πραοτάτου καὶ ἐμοὶ συνάθλου κυρίου Στεφανῆ, ὃν καὶ πρόσειπε καὶ πάντας τοὺς περὶ αὐτήν· ἔτι γὰρ μέμνημαι τῆς κατὰ πέρυσιν αὐτοῦ μικροψυχίας, καὶ οἴκτῳ ἐλήφθην, εἴπερ ἀληθὴς ὁ εἰπών, ἀτυχὴς ὁ μὴ φέρων ἀτυχίαν. Καθ' ὁδοῦ πάρεργον ἐν τῷ Διοσκορίδῃ τὸ τοιοῦτον τὸ παρὰ τῶν κοχλιῶν εὗρον βοήθημα· αὐτὸς δέ μοι εἴθε παρὰ τῆς ἀρχικωτάτης αἰτίας πόῤῥωθεν τῶν τοιούτων παθῶν εἴης αὐτόπτης, καὶ μηδέποτε εἰς πεῖραν ἔλθῃς. Ἅλις σοι γὰρ ὅσων παρά τε τῆς φορᾶς τοῦ καιροῦ, οἰκείων τε καὶ συγγενῶν, ναὶ μὴν καὶ ψευδοφίλων ἐπειράθης ἐκ νηπίου· ὁ δὲ πανοικτίρμων δεσπότης ἄνοσον καὶ πάσης περιστάσεως κρεῖττον διατείνοι σοι τὸ ζῆν εἰς μακραίωνας.

Οἶδας τὸν σὸν **Μακάριον.**

Κατὰ Φεβρουάριον τοῦ 1735 ἀναγγέλλει τῷ Γορδάτῳ ὅτι «Μιχαὴλ τις Πινέλλης Φλωρεντῖνος ἐκδέδωκε βίβλον ὀκτὼ καὶ εἴκοσι κεφαλαίοις διῃρημένην, ἧς ἡ ἐπιγραφή, *νέον σύστημα περὶ ἀρχῆς τῆς*

ποδαλγίας, εἰς ἀπόδειξιν τούτου παρέστησε πολλοὺς χρησαμένους τὴν τοιαύτην θεραπείαν, καὶ οὐδέπω ἐνοχληθέντας, παρελθόντων δέκα, ἢ δώδεκα ἐνιαυτῶν». Τὴν βίβλον ταύτην συνιστᾷ εἰς τὸν σύναθλον αὐτῷ Στεφανῇ τὸν συγγενῆ τοῦ φίλου Γορδάτου, τὸν ὁποῖον ταυτοχρόνως παρακαλεῖ νὰ πέμψῃ εἰς τὸν προσφιλῆ αὐτῷ μαθητὴν ἢ μᾶλλον σύνοικον καὶ φίλον συνάμα δὲ καὶ ὑποδιδάσκαλον Γεράσιμον τὸν Βυζάντιον τὸ περὶ τῆς Σφαίρας πόνημα αὐτοῦ, «καὶ γὰρ πάντα ἃ προαπέστειλας διεδόθησαν· τὰ δὲ μείναντα δύο ἔλαβον μετὰ πολλῆς ἱκεσίας Ζακύνθιοί τινες δύο τῶν ἱερέων».

Ὁ δὲ Γορδάτος γράφει ἐν ἐπιλόγῳ ἐπιστολῆς πρὸς τὸν σεβαστόν του φίλον. «Ζήτω οὖν σου ἡ τελειότης καὶ ἐκ δυνάμεως προβαινέτω εἰς δύναμιν, ἐξ ἀτελεστέρας τῆς ἀρετῆς εἰς τελεωτέραν ἀνερχομένη καὶ κρείττονα· ἐγὼ δὲ τοῖς ὑμετέροις ἐνηδόμενος χαίρω καὶ ἀγάλλομαι· καὶ χαρήσομαι διηνεκῶς τοῖς ἑξῆς ταῦτα ἐκδιδασκόμενος, ὡς μηδὲν ἄλλο εὔχεσθαι τοῦ λοιποῦ, ἢ πολλούς τινας Μακαρίους καὶ Γερασίμους γενέσθαι τῷ πάντ' ἀθλίῳ γένει ἡμῶν. Τὸ τῶν Χίων ἀπηνὲς καὶ δυσήνιον, καὶ τῆς καθ' ὑμᾶς μακαρίας ξυναυλίας πάμπαν ἀλλότριον ἔργῳ πρὸ πολλοῦ διδαχθέντα, μηδένα ἦν τοῦ λοιποῦ αὐτῇ συνιστᾶν, ἀλλὰ τὸν ἡμᾶς ποιμένειν λαχόντα ἄνδρα ἀρετῆς τε ἁπάσης καὶ παιδείας παρὰ τοὺς νῦν προὔχοντας ἀντιποιούμενον, καί μοι φίλα φρονοῦντα ἐς τὰ μάλιστα, οὐκ ἦν ὅλως ἀπώσασθαι τῆς ἐμῆς ἀντιλήψεως δεηθέντα εἰς τὴν τοῦ ἀδελφιδοῦ σύστασιν· θαρρεῖ γὰρ μᾶλλον τῇ πρὸς αὐτήν μου φιλίᾳ οὐ κακῶς εἰκάζων, ἢ τῇ οἰκείᾳ δυναστείᾳ. Καὶ δι' αὐτὸν τοίνυν καὶ δι' ἐμὲ μάλιστα τῆς χρηστότητός σου καὶ ἐπιεικίας ἀπολαυέτω ἀφθόνως· εἴθε μόνον μὴ τοὺς πρὸ αὐτοῦ ἰχνηλατῶν φανείη, ἀλλ' ὀψὲ μέν, δείξειε δ' οὖν ὡς εἰσὶ καὶ Χίων οἵ πρὸς ἀρετὴν καὶ παιδείαν οὐ παντάπασιν ἀφυῶς ἔχουσιν.

Ὅλος αὐτῆς **Κωνσταντῖνος.**

Ὁ Μακάριος ἂν καὶ προσβληθεὶς ἐκ νέου ὑπὸ τῆς νόσου ἀπαντᾷ· «τὰ περὶ τοῦ παιδὸς ὡς ἀξιοῖς ἐποίησα, ἀλλ' οὐκ ἀπραγμόνως, ὡς ἐκ τῶν γραμμάτων τῶν πρὸς τὸν ἅγιον Χίου εἴσῃ, καὶ μετὰ προσθήκης δέκα νομισμάτων, ὥστε τεσσαράκοντα ὀφείλεις πέμπειν κατ' ἔτος τῷ ἱεροδιακόνῳ Καλλινίκῳ τῷ δεξαμένῳ τὴν ἐπιστασίαν τοῦ παιδός. Τί δὲ ἐκ τούτου ἀποβήσεται Κύριος οἶδεν· οὐχ ὅτι ἀποπεφύκασιν οἱ

Χῖοι τῆς ἐνταῦθα διατριβῆς, ἀλλ' ὁ ἀξιῶν φιλόσοφος λόγος ἀληθεύει ὁ λέγων, οὐδὲν κινηθήσεται μεῖζον ἑαυτοῦ διάστημα, πρὸ τοῦ κινηθῆναι ἔλαττον ἢ ἴσον· ὑμεῖς δὲ τοῦ τοιούτου ὀλιγωροῦντες, βούλεσθε τοὺς ἐκ τῆς ἀνειμένης ἐν Χίῳ διαίτης χωρεῖν τὴν στενὴν καὶ ἀπαράκλητον τοὺς ἐνταῦθα κατὰ παραχώρησιν Θεοῦ ἀποφοιτῶντας, διὸ παρὰ πόδας ἀπαντᾷ ὑμῖν ὁ ἔλεγχος τῆς τε ἀδυνάτου ἐπιχειρήσεως καὶ τοῦ φιλοσοφικοῦ ἀξιώματος ἡ κατάχρησις».

Ταὐτοχρόνως λαβὼν πέμπει τὴν ἀπὸ τῆς Ῥώμης ἐλθοῦσαν βίβλον τῆς ποδαλγικῆς θεραπείας, ἐπικαλεῖται δὲ τὴν ἰατρικὴν ἀντίληψιν τοῦ ἐν Χίῳ φημιζομένου ὡς φαίνεται ἀρχιμανδρίτου ὑπὲρ τοῦ ἐκ λιθιάσεως πάσχοντος Γερασίμου. Ἡ ἑπομένη ἐπιστολὴ φέρει τρανὴν τὴν ἀπόδειξιν τῆς θαυματουργοῦ δυνάμεως τῶν φαρμάκων τοῦ ἀρχιμανδρίτου.

Τὴν σὴν τελειότητα ἀσπαζόμεθα ἐκ ψυχῆς.

Ἦλθον πάντα ἀκινδύνως τε καὶ ἀνελλιπῶς ὅσα προέπεμψας· τὰ ἀκεσώδυνα φάρμακα τοῦ Γερασίμου ἐνήργησαν θαυμασίως καὶ ἐπιδαψιλεύσοι ὁ τῶν ὅλων πρύτανις τὰς προσηκούσας ἀμοιβὰς σοί τε τῷ πρωταιτίῳ καὶ τῷ ὄντως ἀκέστορι, ὃν καὶ ἀσπαζόμεθα θερμῶς. Τῷ τε πανιερωτάτῳ δεσπότῃ ἀπόδος καὶ ἀπ' ἐμοῦ τὴν ὀφειλομένην προσκύνησιν, καὶ τὴν τῶν χαρίτων ὁμολογίαν ὧν τε ἠξίωσε καὶ ὧν μέμνηται καὶ παρ' ἀξίαν τὴν ἐμήν. Ὁ παῖς χάριτι θείᾳ μεταβολὴν δείκνυσι τῆς προτέρας κρείττονα ζωῆς, καὶ καθ' ἡμέραν ἀποστοματίζει τὴν παρελθοῦσαν ἀνάγνωσιν, ἐμοῦ ἀκροωμένου καὶ ἀπαιτοῦντος τοῦτο ἀπαραιτήτως, ὅπερ πρότερον οὐκ ἦν, ἀλλ' ἐνίοτε, ἀλλ' ὡς ἔοικε σοφὸς ἦν ὁ εἰπών, ἂν χωλῷ παροικήσῃς, ὑποσκάζειν μαθήσῃ. Ἄριστά μοι κατέβαλες τὸ τοῦ Ἰταλοῦ ἀκέστορος φύσημα, ἐμὲ δὲ ἔτι ἔχει ἐλπὶς τοῦ μὴ πάντῃ ψεύδεσθαι ἐκεῖνον· συνωθεῖ δέ με πρὸς τοῦτο πολλὰ τῶν ἀποδείξεων αὐτοῦ, αἵ τε ἀπαιτήσεις πρὸς τοὺς ἀντιλέγοντας καὶ ἐπὶ πᾶσιν οἱ μεθ' ὅρκου μαρτυροῦντες πρὸς τῷ τέλει τοῦ βιβλίου, ὅτι ἀπηλλάγησαν τοῦ πάθους ὅλως, χρησάμενοι τὸ παρ' ἐκείνου φάρμακον· ἀλλὰ ταῦτα γράφων οὐκ ἔχω μὴ ὅπως θαυμάζειν τὴν θείαν πρόνοιαν, ἥτις ῥυσαμένη σε τῆς φροντίδος τῶν φιλτάτων, ὅρα, τίσι καὶ ὁπόσοις ἐπέστησε, διάτο ταῦτα ἥ τε πατρίς, καὶ μοναί, καὶ μαθητιώντων χορὸς καὶ νοσηλευόμενοι πρὸς σὲ πάντες ἀφορῶσιν ὡς

εἰς κοινὸν λιμένα καὶ κηδεμόνα καὶ παράκλησιν, τούτων ἡ φροντὶς ἔμμισθος, ἐκείνων πλήρωσις μόνον τοῦ νόμου τῆς φύσεως, διὸ φαίην ἂν παρὰ Θεῷ ἄμισθος. Ἐντεῦθεν χάριτας ὁμολογῶ τῇ θείᾳ Προνοίᾳ, ἀλλὰ καὶ αὐτός, οἶμαι, εἴσῃ τῇ δίχα πολλῶν πραγμάτων χειροτονησαμένῃ σε, προνοίᾳ τέκνων πνευματικῶν ἐπιστάτην τε καὶ κηδεμόνα. Διατηροίη σε ἐς μακραίωνας ἡ αὐτὴ πρόνοια κομῶντα ἐπὶ τοιαύταις φροντίσιν. Ὁ σὸς παπᾶ Γεράσιμος θερμότερον ἢ τὸ πρότερον ἀσπάζεται ἅμα τε τῷ κλεινῷ ἀκέστορι· ἐγὼ δὲ καὶ τοὺς λοιποὺς πάντας τοὺς καθ' αἷμα προσήκοντας αὐτῇ, τόν τε εὐγενέστατον κύριον Στεφανῆ, καὶ ἐβουλόμην εἰδέναι τὰ τῆς ποδαλγίας αὐτοῦ, ἡ ἐμὴ βιαίως ἐπῆλθε τῆτες, ἀλλὰ ταχὺ ἀπῆλθεν ἡ κατάρατος, προφάσεως στερήσασα τοῦ προσηλῶσθαι τῇ κλίνῃ πράγματος ἐφετοῦ καὶ μάλιστα ἐν τοιαύτῃ ὥρᾳ καὶ παγετῷ. αψλϛʹ Ἰανουαρίου θʹ.

Οἶδας τὸν σὸν **Μακάριον.**

Ἀκολουθεῖ κατόπιν ἐπιστολὴ τοῦ Γορδάτου ἀφηγουμένου ὅτι ἐν Φλωρεντίᾳ Ἰάκωβός τις Πετάτζης βίβλον ἐξέδωκε περὶ διορθώσεως τοῦ Γρηγοριανοῦ Ἡμερολογίου, «ἔπεμψε δὲ ταύτην κἀμοὶ ἀγνοουμένῳ ἀγνοούμενος, ὡς μὲν ἔστιν εἰκάσαι φιλοτιμούμενος καὶ σπεύδων, κἂν τοῖς μὴ εἰδόσιν ἐπιδείκνυσθαι . . .» Ὁ Γορδάτος ἀπήντησε πρὸς τὸν Ἰταλὸν ἑλληνιστί, ἐγκρίναντος τοῦτο καὶ τοῦ Μακαρίου διὰ τῶν ἑξῆς «ἀλλὰ καὶ τὸ ἑλληνιστὶ ἀπαντᾶν κατὰ θυμὸν τὸν ἐμόν· τὰ γὰρ λατινιστί, ὡς ἐμαυτὸν πείθω, παρὰ τῶν ἀκριβούντων τὴν ἑλληνίδα γραφόμενα οὐδὲν ἕτερον ἡγοῦμαι, εἰμὴ ἑλληνικῶς φθέγγεσθαι φωνῆς τῆς λατινίδος· διὸ ἄριστά μοι δοκεῖς ἀπαντᾶν τῇ πατρίῳ φωνῇ». Ἐκ τούτου δὲ λαβὼν ἀφορμὴν ὁ Γορδάτος ἐπιστέλλει τῷ Μακαρίῳ περισπούδαστον περὶ ἡμερολογίου διατριβὴν ἀτυχῶς περὶ τὸ τέλος κεκολοβωμένην· καὶ οὕτως ὅμως ἔχουσαν παραθέτω ὡς ἀξίαν μελέτης.

Ἧκέ μοι ἡ τῶν γραμμάτων ἀπάντησις ὡς ταχίστη τε καὶ πολλὴν τὴν ἡδονὴν ἀποστάζουσα, οὐχ ὅτι μόνον τὰ τῆς πρὸς τὸν Ἰταλὸν ἀπαντήσεως δεδοκίμασται ἀλλ' ὅτι καὶ τὸ Ἑλληνιστὶ τοῦ τῇ Λατινίδι ταύτην ἐκθεῖναι, προὐκέκριται. Ὅσα δ' αὖθις τἀμὰ κατὰ τὸν ἑαυτῆς τρόπον ἐκθειάζουσα φέρει, παρῆκα πολυπραγμονεῖν, ἵνα μὴ τῷ δοκεῖν ἀπαντᾷν ἀφορμάς σοι παρέξω καὶ ἄλλα τοιαῦτα γράφειν παρ' ἀξίαν

ἐμήν. Ἰταλῷ δὲ τούτῳ καθάπου καὶ Γρηγορίῳ πάππᾳ ποτὲ οὐδὲν ξένον καὶ ἀλλότριον τῶν ὑπὸ τῆς πρώτης συνόδου θεσπισθέντων ἐπινενόηται· ἀλλ' ἐκείνῳ μὲν σκοπός, τὴν ὑπὸ τῆς τοῦ χρόνου ἀνωμαλίας ἀκολουθήσασαν τῷ κανόνι παραλλαγὴν διορθώσασθαι, τούτῳ δὲ τὴν διόρθωσιν ἐλλειπῆ ὀψὲ φανεῖσαν ἐπισκευάσασθαι. Τὴν δὲ παραλλαγὴν οὐχ ὑπ' ἀγνοίας τινὸς ἢ ἀπροσεξίας τῶν τότε θεοφόρων ἀνδρῶν (οὐδεὶς γάρ πω ἐς τοσοῦτον ἧκεν ἀνοίας, ὡς ἔλλειψίν τινα ἐκείνων κατειπεῖν) συμβεβηκέναι ἔφασαν, ἀλλὰ παρὰ τὴν προσγινομένην παροραθεῖσαν δ' αὐτοῖς τῶν ἐτῶν ἀνισότητα, ἣν οὐχ ἡ τῶν φώτων ἀνώμαλος κίνησις, ἤ τις ἑτέρα ἀσαφεστέρα αἰτία, ἀλλ' ὁ τοῦ χρόνου μόνος ἀπέτεκεν ἐπιλογισμός. Ὁ γὰρ μέγας οὗτος φωστὴρ ἥλιος τὴν ὅλην αὐτοῦ περίοδον κατὰ τὴν οἰκείαν κίνησιν, καθ' ἣν ἀπὸ δυσμῶν εἰς ἀνατολὰς φέρεται. Τὴν ἀπὸ τοῦ αὐτοῦ σημείου ἐπὶ τὸ αὐτὸ φημὶ ἀποκατάστασιν, ἣν δὴ καὶ χρόνον καὶ ἔτος λέγειν εἰώθαμεν, ἐν ἡμέραις ὑποτίθεται ἀνύειν τξε', ὥραις τε ἕξ, τῇ ἀκριβείᾳ ἔμπης λογιζόμενος, οὐχ ὅλας δαπανᾷ τὰς ἓξ ὥρας, ἀλλὰ παρά τινα λεπτά, πρῶτα μὲν 10, δεύτερα 44 (εἴη δ' ἂν λεπτὸν μὲν πρῶτον τὸ τῆς ὥρας ἑξηκοστόν, δεύτερον δὲ τὸ τοῦ πρώτου αὖθις ἑξηκοστὸν ὑποδιαιρουμένου) οἱ τοίνυν ἐπὶ Ἰουλίου τοῦ Καίσαρος, κἀπὶ τῶν οὐρανίων καθάπου καὶ τῶν ἐπιγείων τὴν ἀρχὴν ἐπεκτείναντος, ὥς τις τῶν παρ' αὐτοῖς ἔφησε, τὰ τῶν ἐτῶν ἐξακριβωσάμενοι καὶ εἰς τὴν δρωμένην ἐνεγκόντες, τῶν μὲν ἓξ ὡρῶν ἐφρόντισαν, καὶ ἵνα μὴ κατ' ἔτος ὀλιγωρούμεναι σύγχυσιν ἐμποιῶσι τῶν μηνῶν μεταβαλλομένων, ὡς μὴ τοῖς τέτταρσι καιροῖς τοὺς αὐτοὺς ἀεὶ συνέρχεσθαι, ἀλλὰ μεταλλάττεσθαι, καθάπου καὶ τοῖς σεληνιακῶς τὰ ἔτη λογιζομένοις συμβέβηκε, τὴν ἐμβόλιμον ἡμέραν καθ' ἑκάστην τετρακτὺν ἐτῶν ἐντιθέσθαι τῷ δισέκτῳ διωρίσαντο, ἵν' ἔχωσιν αἱ ἓξ ὧραι ταύτῃ ἐπιλογιζόμεναι καὶ μὴ παραλιμπανόμεναι κατὰ τὰ αὐτὰ κεῖσθαι ἐᾷν τὰς περιόδους τῶν ἐτῶν τούς αὐτούς τε μῆνας τοῖς τέσσαρσι καιροῖς κἂν τοῖς ἑξῆς συναντᾷν. Τῶν δ' ἐλλειπόντων λεπτῶν, ὀλίγου κρίναντες ἄξια, λόγον οὐδένα ἐποιήσαντο. Ἐπεὶ δὲ καὶ ταῦτα, ταῖς ἀδιακόποις τῶν ἐτῶν ἐπανακυκλήσεσι πολλαπλασιαζόμεναι εἰς ὥρας ἑξῆς δὲ καὶ ἡμέραν συμποσοῦνται συμβέβηκε τὰς ἰσημερίας οὐ μόνον, ἀλλὰ δὴ καὶ τὰς ἄλλας τροπὰς μὴ ἐπὶ τῶν αὐτῶν ἑξῆς ἡμερῶν συναντᾷν, ἀλλ' ἐπὶ τῶν πρὸ αὐτῶν, ὥστε τὴν ἐαρινὴν φέρ' εἰπεῖν ἰσημερίαν ἐπὶ τῆς κ^{ης} γινομένην Μαρτίου μετὰ ἑκατὸν πεντήκοντα ἔτη

(εἰ καὶ ἄλλοι ταῦτα πλείονα ἢ καὶ ἐλάττονα τίθενται) ἐπὶ τῆς ιϑ' γινομένην καϑορᾶσϑαι, καὶ οὕτω καϑεξῆς. Ἐπεὶ τοίνυν καὶ τοῖς ϑείοις ἐκείνοις τοῖς ἐν τῇ πρώτῃ συνόδῳ πατρᾶσι τὰ περὶ τοῦ πάσχα σκοποῦσι, μετὰ τὴν πρώτην μετ' ἰσημερίαν πανσέληνον τῷ ϑεόπτῃ Μωσεῖ κατακολουϑήσασιν, ὧδε περὶ τοῦ νομικοῦ διορίσαντι, γίνεσϑαι τὸ πάσχα ἐτεϑέσπιστο, μηδὲ μικρὰ περὶ τῶν λεπτῶν ἐκείνων καὶ τῆς ὀπισϑορμήσεως φροντίσασι, συμβέβηκεν ἔν τισι τῶν ἐτῶν μηκέτι τὸ πάσχα μετὰ τὴν πρώτην μετ' ἰσημερίαν πανσέληνον, ἀλλὰ μετὰ τὴν δευτέραν ὑπαντᾷν· ὑποτίϑεται γὰρ ἡ ἰσημερία μένειν κατὰ τὴν ἡμέραν ἐκείνην, καϑ' ἣν ἦν ὅτε τὸ τοῦ πασχαλίου κανόνιον συνετέτακτο, τὸ καὶ ἄλφα τοῖς πολλοῖς καλούμενον διὰ τὸ ἐν φλβ' ἔτεσιν ἀνακυκλεῖσϑαι, τοιοῦτον γὰρ ἀριϑμὸν τὰ ἐν τῷ ἄλφα στοιχείῳ γράμματα ἀριϑμητικῶς συναπτόμενα ἀποτελοῦσι, καὶ οὕτω τοῦ κανονίου κειμένου, καὶ τοῦ πάσχα κατὰ τὸν διορισμὸν αὐτοῦ γινομένου ἀνέγκλητα ἦν τὰ τοῦ πασχαλίου καὶ οὐδεὶς ἦν ὁ τὸ κανόνιον περιεργαζόμενος. Μετὰ δέ τινας περιόδους ἐτῶν τῆς ἰσημερίας ἤδη φανερῶς ὀπισϑορμούσης καὶ ἐπὶ τὴν ιε' ἢ ιδ' Μαρτίου οἱ ἐπὶ σοφίᾳ τότε αὐχοῦντες συνιδόντες μετὰ τὴν βαν τὴν μετ' ἰσημερίαν πανσέληνον ἀναφανδὸν ἔσϑ' ὅτε γινόμενον (καϑάπου καὶ ἐπὶ τοῦ ἐνεστῶτος ἔτους συμβέβηκεν, ὅπου ἡ μὲν ἰσημερία ἐπὶ τῆς ιβ' μαρτίου ὁρᾶται γιγνομένη, τὸ δὲ κανόνιον τὴν τότε ὑποτεϑεῖσαν ἔχον ἠνάγκασεν τῇ πρώτῃ χαίρειν εἰπόντας, τὴν ἑξῆς λογίσασϑαι) τοῖς τὰ Ῥωμαίων διέπουσιν ἀνήνεγκον· δεῖν φάμενοι διόρϑωσίν τινα ἐπινοῆσαι τοῦ πράγματος· ἀλλὰ ταῖς τῆς βασιλείας ἐκείνοις τύρβαις κυμαινομένοις παρημέληται· τοῦ κύβου δὲ μεταπεσόντος καὶ τῆς βασιλείας ἄρδην ἀνατραπείσης, πολλοὶ τῶν ἐλλογίμων ἀνδρῶν ἐς τὴν τῶν Ἰταλῶν γενόμενοι, ἄλλα τε πολλὰ ἐκείνοις παρέδωκαν καὶ τὰ περὶ τῆς προβληϑείσης δὲ ἐνέφηναν διορϑώσεως. Κεχηνότες δ' οὗτοι ἀκρατῶς εἰς τὰς καινοτομίας, κλέος τε ἀείμνηστον ἀπὸ τῆς μεταῤῥυϑμίσεως ἑαυτοῖς περιποιῆσαι σπουδάζοντες ἐπὶ Γρηγόριον πάππα μετήλλαξαν τὸ πασχάλιον, τὰς δέκα ἡμέρας προσϑέμενοι, ἵν' ἡ ἰσημερία εἰς τὴν κα' Μαρτίου γένηται, καϑ' ἣν ἦν καὶ ὅτε τὸ πασχάλιον τοῖς πατρᾶσι συνετέϑειτο, μίαν αὖϑις καϑ' ἑκάστην ἑκατονταετηρίδα προσϑεῖναι παραγγείλαντες ὅπως μὴ ἔχῃ αὖϑις τὰ τῆς ἰσημερίας ὀπισϑορμεῖν· ἀλλ' ἔλαϑον ἑαυτοὺς περὶ τοὺς ἐπιλογισμοὺς ἀστοχήσαντες, καὶ φυγόντες τὴν Σκύλλαν τῇ Χαρύβδει ἐνέπεσον· τὸ γὰρ μετὰ

τὴν δευτέραν πανσέληνον γίνεσθαι τὸ πάσχα ἀποποιούμενοι φορητὸν καί περ ὄν, καὶ πρὸ τῆς πρώτης πανσελήνου πάνυ ἀγεννῶς ἀπεργάζονται, τοῦτο συνιδόντες τῶν μετὰ Γρηγόριον τὰ τῆς δυτικῆς ἐκκλησίας διοικούντων, ἔσπευσαν μὲν εἰς τὸ κρεῖττον μετενεγκεῖν, ἀλλὰ τὸ μαρτυρολόγιον ὡς φθὰς ἔφην ἐν ἑτέρᾳ ἐπιστολῇ ἐμποδὼν αὐτοῖς γέγονεν. Ἔδοξε γὰρ ἀδυνάτως ἔχειν τὰ τῆς διορθώσεως, μὴ συμμεταβληθέντος καὶ τούτου· τούτου δὲ τὴν μεταβολὴν οὐκ ἂν ἦν καινοτομίας αὖθις φυγεῖν γραφήν. Ἰδὼν οὖν οὗτος ὁ Ἰταλὸς Πετάτζης τοὺς οἰκείους ζητοῦντας μὲν τὴν διόρθωσιν, ἀμηχανοῦντος δ' ἀπεργάσασθαι διὰ τὸ μαρτυρολόγιον, πολλὰ πονήσας, τρόπου ἐπέτυχεν ἀψαύστου ἐκείνου μένοντος, τῶν ἐπακτῶν μόνων καὶ κύκλων τοῦ ἡλίου μεταβληθέντων, τοῦ πλημμελήματος ἀνώτερον γενέσθαι τὸ γρηγοριανὸν καλενδάριον· οὐκ ἔστιν οὖν . . .

Ἕπονται κατὰ τὰς τελευταίας ἡμέρας τοῦ Δεκεμβρίου 1736 ἐγκωμιαστικαὶ ἐπιστολαὶ τῶν μαθητῶν τοῦ Μακαρίου, Βασιλείου, Καλλινίκου τοῦ Τραπεζουντίου, Ἰακώβου καὶ Ἀρσενίου Κωνσταντινουπολίτου τῶν ἱερομονάχων πρὸς Κωνσταντῖνον τὸν Γορδάτον.

Ἀπροσδοκήτως ὅμως καὶ ἐν μέσῳ τῆς κατ' ἐπιφάνειαν ὡς φαίνεται γαλήνης ἐνέσκηψεν ὡς κεραυνὸς ἡ ἀπαισία ἀγγελία τοῦ θανάτου τοῦ σοφοῦ καὶ πεφιλημένου διδασκάλου Μακαρίου διὰ τῆς ἑπομένης ἐπιστολῆς τοῦ μαθητοῦ Ἀρσενίου.

Τῷ σοφωτάτῳ μου διδασκάλῳ κυρίῳ κυρίῳ ***Κωνσταντίνῳ*** *τὴν δουλικὴν προσκύνησιν.*

Ἔδειμε οὐκ ἔτι στόμα διᾶραι, οὔτε λόγον προέσθαι ἐπὶ ποσόν, πολλοῦ δέω φάναι γραφίδος ἅψασθαι· ὁ γὰρ τῷ στόματι ἡμῶν μεταδοὺς παῤῥησίας, καὶ τῆς ἐφικτῆς περὶ τὸ λέγειν δυνάμεως, ἐκ μέσου ἡμῶν ἐγένετο· κατέλιπε δὲ πάντας ὀρφανούς, ἀπαρακλήτους, ναρκῶντας, καὶ ὡς εἰπεῖν οὐδὲν ἀπεοικότας νεκρῶν, ὅθεν ὡς φθὰς ἔφην σιωπὴν ἦν ἑλέσθαι, γράφω δὲ ἵνα μὴ τὸ πατρικὸν αὐτῆς γράμμα σιγῇ παρέλθω, ὑφ' οὗ ὡς οὐδέποτ' ἑάλων τῇ ὄντως φιλοσόφῳ ὑμῶν ψυχῇ ἅτε δὴ οὐχ ἧττον λόγον ποιουμένη τῆς τοῦ ἀπελθόντος ἤδη φιλίας, ἢ πρότερον, ὃ ὑπὲρ πάντα τίθεμαι, οἷς ἀγαθοῦ μέτεστιν, ὡς καί τινι τῶν σοφῶν δοκεῖ λέγοντι, φίλου πιστοῦ οὐκ ἔστιν ἀντάλλαγμα τῶν

ὄντων οὐδέν. Σοῦ δὲ τίς ἂν εἴη πιστότερος; οὗ ἡ φιλία τέλος οὐκ οἶδεν, ἅτε δὴ ἀκμάζουσα, καὶ ἀπελθόντι ἐν τῷ σῷ Μακαρίῳ, τὸ γλυκύ μοι λέγω ἐκεῖνο καὶ πρᾶγμα καὶ ὄνομα, ὃν φεῦ τῆς συμφορᾶς, πικρὸς ἤδη κατέκρυψε τάφος, ὡς μηκέτι φαίνεσθαι τοῖς ἡμῶν ὀφθαλμοῖς· ἦν δ᾽ ἀρά ποτε οὗτος σοφὸς ἐν σοφοῖς; ἐν ἐπισήμοις ἐπίσημος; ἐν τοῖς ἀρετῇ διαπρέψασιν ὑπὲρ πάντας; ὃς τοῖς μὲν πατὴρ ἦν, τοῖς δὲ τροφεὺς καὶ παράκλησις, τοῖς δὲ διδάσκαλος καὶ διδάσκαλος ἀδάπανος; τὸ δ᾽ ἀληθέστερον ὀφθαλμὸς ἦν καὶ χαρὰ τοῖς πᾶσι, τὰ ἡμέτερα λέγω, ἐῶ γὰρ λέγειν οἷος ἦν τοῖς πόῤῥω φιλουμένοις ὑπ᾽ αὐτοῦ καὶ φιλοῦσι, πρὸ πάντων δὲ τῇ σῇ γνησίᾳ αὐτοῦ ψυχῇ, ᾧ γε φιλοτίμημα ἦν καὶ ἀναπνοὴ τὸ σοφὸν ὑμῶν ὄνομα. Ἀλλὰ τί δεῖ τούτων οὐ κατ᾽ ἐπιστολὴν ὄντων; Ἡ μὲν νόσος αὐτοῦ ἔσχεν οὕτως, κατὰ τὰς ἓξ δεκεμβρίου ἐπισκήψασα αὐτῷ, ἡ τῆς ποδαλγίας φημί, ὡς ἔθος αὐτῇ κατὰ περίοδον ἀπαντᾶν, κατέσχε κλινήρη ἡμέρας τινάς, κουφότερον μέντοι ἐπῆλθεν ἢ πρότερον. Αἴτιον δὲ ὡς ὁ ἀοίδιμος ὡμολόγει, τὰ ἐπάρατα ἐκεῖνα φάρμακα τὰ ἀπὸ Ῥώμης, ἃ τὴν νόσον μὲν ῥαστέραν τὸν δὲ θάνατον πικρὸν ἐπήγαγον. Αὐτὰ γὰρ ταῦτα ἥκιστα τῇ ψυχρότητι διαφέροντα ἦν τῆς χιόνος, οἷς ἐχρῆτο μετὰ ψυχροῦ ὕδατος καθ᾽ ἡμέραν νήστης ὤν, ἐν διαστήματι περίπου μηνῶν πέντε, ἥ τε δίαιτα ἡ συνήθης αὐτῷ καὶ παραπλήσιος τοῖς φαρμάκοις οὖσα, κατέψυξαν πάντῃ τὸν στόμαχον, τοῦ ἐμφύτου ἐξατμισθέντος θερμοῦ, τεκμήριον τῶν εἰρημένων, ὡς μικρὸν ῥαΐσας τῆς νόσου κατ᾽ ἀρχὰς τοῦ ἰανουαρίου, ὡς τὰ πολλὰ οὐ ἂν ἐγεύετο, εἰς ἔμετον ἀνεδίδοτο, ὡς οὐδ᾽ ὁπωσοῦν βρώματος ἅψασθαι μέχρι τῆς ιζ΄ τοῦ αὐτοῦ, καθ᾽ ἣν καὶ μετέστη τῶν τῇδε. ἄλλως τε τῇ λύσει πλησιάσας τῆς συνθέσεως κατ᾽ οὐδὲν μέρος ὄντως ἤλγει σφοδρῶς καὶ ἀφορήτως, ὅτι μὴ τὸ στῆθος, ὥστε μὴ φθάνειν ἡμᾶς μεταλλάττειν τὰ ἐπιτιθέμενα τῷ στήθει αὐτοῦ μανδύλια, ἐκθερμαινόμενα ἐς ἄκρον τῷ πυρὶ πρότερον, οὕτως ὡς ἄνθος ἐσβέσθη τὸ φῶς τῆς ἡμῶν ψυχῆς, σφραγίδα ἐπιθεὶς ἐν τῇ ἐσχάτῃ ἀναπνοῇ ταῖς ὑπὲρ ἡμῶν εὐχαῖς· τὸ ζῆν ἡμᾶς μετὰ πίστεως, ἐλπίδος τε καὶ ἀγάπης, καθήψατο δὲ τῆς ἡμῶν ψυχῆς ἐς βάθος ἡ αὐτοῦ τελευτή, ὥστε τοὺς πάντας καὶ αὐτὴν ἀπολέγεσθαι τὴν ζωήν. Προπάντων δὲ τὸν διδάσκαλόν μου παπᾶ Γεράσιμον ὃν γενέσθαι ἑαυτοῦ ἔπεισαν φθάσαντα τὰ σοφὰ ὑμῶν γράμματα, ἅτε δὴ παριστῶντα τὸ πρὸς ἡμᾶς φίλτρον τοιοῦτον, οἷον ἦν καὶ πρὸς τὴν ἀοίδι-

μον ἐκείνην ψυχήν, οὗ χάριν ἕξετε τὸ κρεῖττον δίκαιον πάντως, ἡμᾶς δὲ τοιούτους οἵους εἰκὸς εἶναι καὶ πρὸς τὸν ἀπελθόντα. Ἡ δὲ σχολὴ οὐδὲν λείπεται τῆς πρόσθεν ἐπιμελείας, ἐν οὐδενὶ γὰρ ἥττων ὁ σὸς παπᾶ Γεράσιμος τοῦ τε ἀπελθόντος, καὶ τῆς ὑμῶν ἐλπίδος, φαίην δ᾽ ἂν καὶ ὑπὲρ ἐλπίδα, κἂν ἀπῳκισμένους τινὰς τῆς σχολῆς θεάσησθε καὶ πλάνης λάφυρα, οὐκ ἐρημίᾳ διδασκάλου, ἢ ἀμελείᾳ οὗτοι τοιοῦτοι, νοὸς δὲ μᾶλλον ἢ προθυμίας· εἰσὶ γάρ τινες πάλαι τὸν δρασμὸν μελετῶντες, οἱ μὲν γὰρ πρὸς τὸ ἀντιλαμβάνεσθαι τῶν μαθημάτων, οἱ δὲ καὶ πρὸς τὸ πονεῖν ἀποπεφύκασι· ταῦτα δὲ εἴρηται ὑμῖν οὐκ ἄλλως, ὅτι μὴ λόγον ἔχουσι τῆς περὶ τὸ σχολεῖον συστάσεως, ἃ δέ μοι ἐνεχαράξατε τὰ μὲν εἰσὶν ὡς ὑμῖν φίλον, τὰ δὲ καὶ ἔσονται. Διατηροίη δὲ τὸ κρεῖττον τὴν ὑμῶν τελειότητα ἀνωτέραν παντὸς λυπηροῦ πρός τε σύστασιν ἡμῶν καὶ παράκλησιν. αψλζ΄. φεβρουαρίου ιγ΄.

Ὁ ὑμέτερος ὅλος **Ἀρσένιος.**

Ὁ Γορδάτος λαβὼν τὴν ἐπιστολὴν τοῦ Ἀρσενίου γράφει πρὸς τὸν Γεράσιμον παρηγορῶν, ἐνθαρρύνων καὶ παρακαλῶν ν᾽ ἀναλάβῃ τὴν ἐπιστασίαν τῆς σχολῆς καὶ νὰ μὴ ἀφήσῃ παταχθέντος τοῦ ποιμένος, νὰ διασκορπισθῶσι τὰ πρόβατα, οἱ τοῦ Μακαρίου δηλαδὴ μαθηταί.

Γερασίμῳ.

Ἡ ἐπιγεγοννῖα μοι ἀχλὺς καὶ σκοτόμαινα ὑπὸ τῆς πικρᾶς ἀγγελίας δίδωσί μοι ἐννοεῖν, οἵως ἄρα ἡ σὴ λογιότης διάκειται. Εἰ γὰρ ἐγὼ πρὸ πολλοῦ μὴ συγγενόμενος αὐτῷ, εἰ καὶ τῷ νῷ οὐδὲ ποτ᾽ ἐχωρίσθην, οὐκ ἔχω κρατεῖν ἑαυτοῦ, καὶ ταῦτα λογιζόμενος οἵων νῦν τοῦ ἐπιπόνου τούτου καὶ λυπηροῦ βίου μεταστάς, καὶ πρὸς τὰς αἰωνίους μετοικίσας μονὰς ἀπολαύει, ἀλλὰ τῇ λύπῃ καταβαπτίζομαι, καὶ δάκρυσι μᾶλλον ἢ μέλανι τὴν ἐπιστολὴν ἐγχαράττομαι καὶ οὐκ ἔχω τίσι τὸ πάθος ἀκέσασθαι, ἀλλὰ πάντα μοι φροῦδα λογίζεται πρὸς τὸ μετριάσαι τὸ πάθος καὶ τὴν στέρησιν τοῦ τοιούτου φίλου μικρόν τι τῆς μνήμης ἀπαγαγεῖν, πῶς ἡ σὺ λογιότης τοῦ φίλου στερηθεῖσα, τοῦ διδασκάλου ἐρημωθεῖσα, πατρὸς ὀρφανισθεῖσα, καὶ παντὸς οἰκείου καὶ συγγενοῦς ὀνόματος, ὅσα γὰρ ἦν ἐν αὐτῷ περιέλαβεν ἀπαλλοτριωθεῖσα, μὴ ὅλη γενήσεται τῇ λύπῃ καὶ ὑποβρύχιος τῷ πάθει γενέσθαι δυνήσεται. Οἶμαι καὶ τῆς ζωῆς αὐτῆς ἀφειδήσει· ἀπέλιπε γὰρ ἐκεῖνος

εἰς ὃν ἔπνει, καὶ ἔζη, καὶ ἔβλεπεν, ἀλλ' ὦ φίλοι γενώμεθα ἑαυτῶν, ζηλώσωμεν τὸ ἐκείνου καρτερικὸν καὶ ἀνένδοτον. Τιμήσωμεν οἷς ἐκεῖνος ἔχαιρε καὶ ἠγάλλετο· σὺ δὲ καὶ μᾶλλον, ὅσῳ καὶ μᾶλλον ζηλωτὴς καὶ μιμητὴς ἐκείνου, δεῖξον τὴν υἱότητα ἐκ τῶν πραγμάτων, πίστωσον ἔργοις τὸ συγγενές, μὴ ψευδεῖς φανήτωσαν ἃς ἐπὶ σοὶ εἶχεν ἐλπίδας ἡ μακαρία ἐκείνη καὶ σεβάσμιος κεφαλή. Τί ἄρα οἴει ἀπαιτεῖν σε ἐκείνην ἄνωθεν ὑφορῶσαν, καὶ οὐδὲν ἢ πρότερον ἐπισκεπτομένην σε καὶ καθαγιάζουσαν. Δάκρυα καὶ οἰμωγὰς καὶ λύπας; οὔμενουν. Ταῦτα γὰρ τοῖς μὴ ἔχουσιν ἐλπίδα πρέποντα, ὁ δὲ ζῇ ζωὴν εἰρηνικήν, ζωὴν ἄλυπον, ἄνοσον, πολλὰ τῇδε νοσήσας καὶ παθών· τῶν λυπηρῶν πάντων γενόμενος ἀνώτερος. Τί οὖν τὸ ζητούμενον; εὐστάθεια πάντως τὸ καρτερικὸν τῆς ψυχῆς καὶ ἀνένδοτον, οἷς στηριζόμενον ἄξιον σὲ φανῆναι τῆς ἐκείνου διαδοχῆς καὶ ἐλπίδος, ἣ πτερούμενος ὅλον σε καὶ ἔπνει καὶ ἔβλεπεν, ἵν' ἔχῃ διὰ σοῦ ἣν συνεστήσατο σχολὴν πόνοις μυρίοις καὶ ἀλλεπαλλήλοις φροντίσι συνεχίζουσαν ἐᾶσαι, καὶ ἄνωθεν ἐφορῶντα τέρπεσθαι τῇ ταύτης διαμονῇ καὶ συστάσει· δὸς τοῖς πᾶσι γνῶναι τὸν ἐν μακαρίοις Μακάριον, μὴ ζῶντα μόνον, προνοῆσαι τῶν καλῶν, ἀλλὰ καὶ μετὰ θάνατον φροντίζειν. Μή τις τῶν χαιρεκάκων ταῖς ὑπερηφανίαις γαυρούμενος, ἐψεῦσθαι εἴποι τῶν ἐλπίδων Μακάριον, ἀλλ' οἱ τῆς ἀρετῆς τρόφιμοι καὶ τοῦ καλοῦ φίλοι τὸ ἀδιάκοπον τῆς ἀρετῆς γνόντες χωρήτωσαν· οὕτω τίμησον τὸν σὸν πατέρα, υἱὲ γνήσιε, τοῖς ἀγαθοῖς ἔργοις τέρψον τὴν ἐκείνου ἐπιείκειαν, μὴ παταχθέντος τοῦ ποιμένος ἄφες διασκορπισθῆναι τὰ πρόβατα, τοὺς φίλους ἐκείνου μαθητάς· ἀλλὰ γενόμενος χρηστὸς ποιμὴν φύλαξον τὴν ποίμνην σώαν καὶ ἀλώβητον· οὐδέν σοι τὸ ἐλλεῖπον πλὴν τῆς ἐκείνου παραστάσεως, ἀλλ' οὐδὲ ταύτης οἶμαι σε ὑστερήσειν, ἄνωθεν καὶ γὰρ τὴν ἐξ ὕψους ἐπιχορηγήσει σοι βοήθειαν· πόῤῥωθεν δὲ κᾀγὼ τὸ στεῤῥὸν τῆς σῆς ψυχῆς ἐνωτιζόμενος, χαρήσομαι· πολὺ γὰρ μᾶλλον τῇ σῇ ἱερότητι διακείσομαι εὖ, ἢ παριόντι ἐκείνῳ. Ἔσομαι γὰρ εὖτε ἐκεῖνον ποιῶν σοῦ ἀντιλαμβανόμενος καὶ πράγματι πιστούμενος ὅπερ πολλάκις ἐκείνῳ γράμμασιν ὡμολόγησα, τὸ ἐμόν· ἐμὸς γὰρ ἔσῃ εἰς αἰῶνα τὸν ἅπαντα· αψλζ΄.

Ὅλος αὐτῆς **Κωνσταντῖνος.**

Ἡ παράκλησις εἰσηκούσθη καὶ ὁ Γεράσιμος ἀπεδέξατο τὴν διεύθυνσιν τῆς σχολῆς· ὁ δὲ Κωνσταντῖνος Γορδάτος ἀπαντᾷ τῷ Γερα-

σίμῳ εὐχαριστῶν διὰ τῆς παρὰ πόδας ἐπιστολῆς ἥτις ἔστι καὶ ἡ τελευταία ἐν τῇ σωζομένῃ συλλογῇ.

Θ. Ν. Φιλαδελφεύς.

Γερασίμῳ.

Ἤσθην σου τοῖς γράμμασιν ἐντυχών, καὶ τὸ πολὺ τῆς ἀνίας ἀφήρημαι· ὑπερεθαύμασα γάρ σου τὸ φιλόσοφον, τὸ καρτερικὸν καὶ ἀνένδοτον. Τὸ μὲν γὰρ οὐδ' ὁπωσοῦν ἐπὶ τῷ διδασκάλῳ παθεῖν, τῆς σῆς ἐπιεικείας ἀλλότριον καὶ χρηστότητος· τὸ δὲ μὴ ὅλως ἐμμένειν τῷ πάθει, ἀλλὰ σκεψάμενον, ὅτι τῶν τῇδε ἀπαλλαγῆναι, ὀνόματι μᾶλλον φοβερόν, ἢ πράγματι, καὶ μάλιστα τοῖς τὴν κατοικίαν εἰδόσι προκρίνε.ν τῆς παροικίσεως, καὶ γλιχομένοις ταύτης ἀπαλλαγέντας, ἐκείνης κατατρυφᾶν. Τί γὰρ ἐκείνοις καὶ σκιαῖς ὀνείρων οὔσαις ἀπαγεστέραις, καὶ οὔτε τὸ λυποῦν οὔτε τὸ εὐφραῖνον καρπουμέναις ἀκίβδηλον; Ἀνδρὸς πεπαιδευμένου τὰ θεῖα, καὶ οὐδὲν ἢ ταῦτα μελετῶντος, καὶ τὰ ὄντα οὐ τῇ αἰσθήσει, ἀλλὰ καθαρῷ τῷ νοΐ ἀπαθείᾳ ὑπερανεστηκότι τῶν ἄλλων κρίνοντι, ὁποίαν καὶ τὴν σὴν λογιότητα ἡ μετὰ τοῦ ἀοιδίμου ἐκείνου πατρὸς χρόνιος διατριβὴ ἀπεφήνατο. Στομώσασα γὰρ ὥσπερ βαφὴ σίδηρον ταῖς πολλαῖς καὶ ἀδιακόποις ἀφηγήσεσιν, ἄξιον τῆς αὐτοῦ διαδοχῆς γνωσθῆναι ἐποίησεν. Οἶμαι καὶ τὴν θείαν πρόνοιαν μὴ ἐπὶ πολὺ κρύπτεσθαι τὴν ἀρετὴν βουλομένην, ἐκεῖνον μὲν τὰς ἀμοιβὰς τοὐντεῦθεν καρποῦσθαι τῶν πόνων, οὓς ἀνέτλη γενναίως, ὑπὲρ τοὺς νῦν ἅπαντας τοῖς πάλαι θείοις ἀνδράσιν ἁμιλλώμενος, καὶ ἀρετῇ καὶ παιδείᾳ τὸ δυνατὸν ἀνθρώπῳ κοσμούμενος, τῶν τῇδε ἀλγεινῶν ἀπαλλαγέντα εὐδόκησε· σὲ δὲ μηκέτι ἀγνοούμενον ἀρίδηλον τὴν ἐνοῦσαν καὶ χρόνῳ μακρῷ ἀποταμιευθεῖσαν σοφίαν ἐργάσασθαι. Χαίρω τοίνυν ἐμοὶ μὲν τὸ δυνατὸν εἰς τὴν σὴν παραμυθίαν συνεργήσαντι· οἶμαι γὰρ χαρίζεσθαι κἀντούτῳ οὐ μικρὸν τῷ ἀποιχομένῳ, ἐκείνῳ δὲ ὅτι ζῇ ἤδη ζωὴν τῆς προτέρας διπλασίονα, τῇ μὲν τῇ ἀνεκλαλήτῳ χαρᾷ ἐντρυφῶν, τοῖς ἁγίοις οὓς ἐμιμεῖτο συνδιαιτώμενος, τῇ δὲ ἐν Γερασίμῳ τῷ φιλτάτῳ ἐμπρέπων καὶ οὐδὲν ἀλλ' ἢ τὰ συνήθη καὶ φίλα διαπραττόμενος· εἴη κἀμοὶ ἐπὶ τοιαύταις ἐλπίσι μεταστάντι τῶν ἀναμφιλέκτως ἐλπιζομένων τυχεῖν. Σὺ δέ μοι ἡ θεία κεφαλὴ τῆς προθέσεως ἀμεταστρεπτὶ ἀντεχόμενος γίγνου τοῖς προσπίπτουσιν ἀλγεινοῖς, ὡς σκόπελος ἄλλος, ὃν οὐδαμῇ θλίβει τὰ ἀλλε-

παλλήλως πανταχόθεν συναντῶντα κύματα, κατὰ τὴν ποίησιν. Πολλὰ γὰρ εἰκὸς ἀπαντᾷν σοι τοιαῦτα, τοῖς ἔμμονον ἀρετῇ κεκτημένοις ἐναργῆ δοκίμια. Ἐγὼ δὲ καὶ τῷ σώματι ἀπών, ἀλλὰ τῇ ψυχῇ ἀχωρίστως συνών, οὐδαμῇ ἀπολείψομαι συμπράττων τοῖς χρειώδεσι κατὰ δύναμιν. Τὸν τριπόθητον κύριον Ἀρσένιον ἥδιστα προσαγορεύων, μεγίστας αὐτῷ οἶδα τὰς χάριτας, τῆς τε πρός σε εἰλικρινοῦς διαθέσεως, τοῦ πρὸς ἐμέ τε φίλτρου, τῆς περὶ τὰ καλά τε ῥοπῆς, καὶ μάλιστα τοῦ ἀκριβῶς μοι ὑποτυπῶσαι τὸν τρόπον τῆς τοῦ ἀοιδίμου ὑμῶν πατρὸς μεταστάσεως. Ἔῤῥωσθε.

Ὅλος σὸς **Κωνσταντῖνος.**

ΑΝΕΚΔΟΤΑ ΠΟΙΗΜΑΤΑ

ΔΙΑΦΟΡΩΝ ΠΟΙΗΤΩΝ ΤΟΥ ΙΗ΄ ΑΙΩΝΟΣ

Ἀντιγραφέντα ἐκ τοῦ ὑπ' ἀριθ. 15 χειρογράφου τῆς φιλαρχαίου ἑταιρείας «Ὄθρυος».

---

1. Καλλινίκου Πατριάρχου, τοῦ ἐκ Μουντανίου, ἔπαινος.

(Ἐγένετο πατριάρχης Κωνσταντινουπόλεως τῷ 1801—1806).

Ἡ παντουργικὴ σοφία, καὶ τῶν ἀγαθῶν αἰτία, λόγος συμφυὴς Θεοῦ,
Κυβερνητικὴ τῶν ὄντων, παραγωγικὴ μὴ ὄντων, τῶν πρὸς σύστασιν λαοῦ.
Κάλλιστ' ἐπιβλεψαμένη πρὸς τὴν διεσκορπισμένην ποίμνην τὴν θεολεκτήν,
Ἀφειδῶς συνθλιβομένην, ἀκρατῶς πολεμουμένην, τὴν κοινὴν καὶ ἐκλεκτήν.
Λοιπὸν πρὸς ποιμαντορίαν, τῶν προβάτων σωτηρίαν, ἐξελέξατο σαφῶς
λίαν ἔμφρονα σοφόν τε, ῥωμαλέον ποιμενάρχην, ἀστεμφῶς.
Ἡ ἐκ τούτου δὲ σοφία, ἱλαρὰ ποιμεναρχία θρέμματα τὰ λογικά.
Νομὴ πρὸς εὐόσμους πόας, ἀνθηπλόκους τε λειμῶνας, ἀρετῶν καθολικά.
Ἱκανῶς πρὸς νεκταρώδη ῥεῖθρα τὰ σωτηριώδη, λόγων τε πνευματικῶν,
Καὶ κρημνῶν τε καὶ χωσμάτων, χαλεπῶν δλισθημάτων ἀποτρέπει ψυχικῶν.
Ὡς Δαυῒδ ἐκσφενδονίζει, ἤδη καὶ ἀναχαιτίζει, λύκων νοητῶν ὁρμήν,
ὑπὲρ τῶν προβάτων πάλιν τὴν αὐτοῦ ψυχὴν προβάλλει οὗτος ὁ καλὸς ποιμὴν
Καλλίνικος δ' ἀνασώσας, ταῦτα λυπηρῶς λυτρώσας, αὐλῷ τῷ ποιμαντικῷ.
Πρὸς θαρσοποιῒαν (;) ᾄδει καὶ τὴν ποίμνην ἐπανάγει λόγῳ Θεολογικῷ.
Τοῖος ἔπρεπε τῷ ὄντι τῇδε τῇ μυστηριώδει ποίμνῃ ὁ ἀρχιποιμήν,
Ὅθεν χαίρει βληχομένη ἔχειν τοῦτον εὐχομένη τὴν ὑπέρτατον τιμήν.
Ἐκβοᾷ πρὸς τὸν δοτῆρα, Χριστὸν τὸν κοινὸν Σωτῆρα, ἀναφαίρετον τηρεῖν
Ἵνα ᾖ φυλαττομένη, ὑπ' αὐτοῦ ποιμενομένη, πρὸς ὠφέλειαν κοινήν.

2. Εἰς νεοφώτιστον (ἐπίγραμμα).

(Ἔργον Διονυσίου μαθητοῦ Κυρίλλου).

Ἐθελοντὶ εἰσήλυθας ἐνταῦθα, ξένε;
ὅπου μελανένδυτοι καὶ χῶρος δάσους;
Θεὸς παρέσχε τοῖς ἐρημικοῖς χάριν,
ἥκω μετασχεῖν καὶ νάματος ἐνθέου.

Ἀτρεκέα ζωὰν καλέω τῶν ἐρημεόντων,
μακρὰν βαλλόντων τῆς μερίμνης τὸ βάρος.
Πᾶς οὖν ὃς ποθέει ἔμμεναι ἐκτὸς κηδοσυνάων
δεῦρ᾽ ἴτω ἐρημίης ἄνθεα δρεψόμενος.

3. Ἐπίγραμμα ἐν τῷ ναῷ τῆς Μονῆς Κορώνης.

[Ἡ μονὴ αὕτη εἶναι μικρά, κειμένη ἐπὶ τοῦ Πίνδου. Πλησίον τῆς εἰκόνος τοῦ ἱδρυτοῦ παρισταμένου διὰ πλουσίας βυζαντινῆς περιβολῆς ἀναγινώσκεται τὸ ἑπόμενον ἐπίγραμμα. Ἐζωγραφήθη ἐν ἔτει 7095 = 1587].

«† **Ἀνδρέας Μποῦνος** *καὶ νέος κτίτωρ τῆς ἁγίας μονῆς ταύτης*».

Τέρμα περισσοῦ ἱδρῶτος Δανιὴλ ἀζεύκτου
ναὸν ὅδ᾽ ἄχραντον κτήσατο Παναγίης,
σὺν δαπάναις πλείσταις εὐγενέος κομμόοντος
Ἀνδρέου εὐτραφέος πλήθεσιν εὐπραγίης.
Ἑπτακισχιλίῳ ἐννενηκοστῷ πέμπτῳ ἔτει
Αὐγούστου ἔνην καὶ νέαν ἱσταμένου.

Ἡ μονὴ αὕτη διασώζει καὶ δύο εἰκόνας ἐκ μωσαϊκοῦ, τοῦ Χριστοῦ καὶ τῆς Παναγίας. Ἡ ζωγραφία αὐτῆς εἶναι σπουδῆς ἀξία.

4. Ὡς ἀπὸ τοῦ χλωμοῦ καὶ χρυσοῦ [1].

Χλωμὸς καὶ κίτρινός εἰμι, πάντες μὲ ἀγαποῦσι,
Μικροί, μεγάλοι, ἄρχοντες, πτωχοὶ μ᾽ ἐπιθυμοῦσι.

---

[1] Ὁ κ. Σπυριδάκις ἐδημοσίευσεν ἐν τῇ «*Ἐπετηρίδι*» τόμ. Ε΄ δύο στίχους αἰνίγματος ὡς ἑξῆς:

Κίτρινος εἶμαι καὶ χλωμός, πολλὴν δύναμιν ἔχω,
Μὲ δένουσι καὶ μὲ σφαλοῦν, ἐγὼ φεύγω καὶ τρέχω.

[= *Χρυσός*].

Ἄξιον ὅμως παρατηρήσεως ὅτι ὁ ΙΗ΄ αἰὼν παρήγαγε πολλοὺς ποιητάς. Ποιήματα διαφόρων Θεσσαλῶν λογίων κληρικῶν τε καὶ λαϊκῶν ὀλίγα πρὶν ἦσαν γνωστά· διὰ τοῦ ὑπ᾽ ἀριθ. 13 χειρογράφου τῆς Ἑταιρείας *Ὄθρυος* διὰ τοῦ πραγματευομένου τὴν σιτοδείαν ποιήματος τῶν Κωφῶν (1775) καὶ τοῦ τῆς βρύσεως τῶν Μηλεῶν (1779) μανθάνομεν ὅτι οἱ λόγιοι τοῦ ΙΗ΄ αἰῶνος εὐχερῶς ἐστιχούργουν.

Ἐξόχως ’ς τοὺς ἀρχιερεῖς συχνὰ ’πάγω καὶ φεύγω,
Δὲν στέκομαι οὐδὲ στιγμήν, ἀληθινὰ σοῦ λέγω.
Διότι ἔχουν οἱ πτωχοὶ πολλοὺς ’ποῦ τοὺς γυρεύουν,
Κίτρινα, κίτρινα πολλά, ποτὲ δὲν τοὺς πιστεύουν.
Πλὴν ἱεροδιάκονοι ἀργὰ ἀργὰ μὲ πέρνουν,
Ὅμως πολὺ μὲ κρύπτουσι καὶ δυνατὰ μὲ δένουν,
Κάμνω νὰ φύγω δὲν ’μπορῶ, μ’ ἔχουν εἰς κηροπάνι,
Ἐκεῖ σωπαίνω, κάθωμαι, δὲν βγαίνω εἰς μεντάνι,
Ἕως νὰ ἔλθουν καὶ αὐτοὶ εἰς τέτοιαν φαντασίαν,
Θελήσουν δόξαν καὶ τιμήν, νὰ λάβουν ἐπαρχίαν.
Τότε εὐθὺς ’βρίσκω καιρόν, πηδῶ καὶ ἀποφεύγω,
’Πάγω εἰς μεγαλείτερους καὶ ἐκεῖ δὲν ἀποστέκω.
Ἀναχωρῶ λοιπὸν εὐθύς, ἀφίνω δὲ καὶ τούτους
Γυμνούς, πτωχοὺς καὶ ἀθλίους, τοὺς κράζουσι καὶ λύκους.
Πηγαίνω δὲ καὶ εἰς μερικοὺς μπέηδες καὶ ἀγάδες,
Μὲ κρύπτουσιν ἐνίοτε καὶ μερικοὶ ῥαγιάδες.
Μὲ δένουσι σφιγκτὰ καὶ κάποιοι ἀβάδες,
Μὲ δένουσι ποτὲ καὶ κοσμικοὶ παπάδες.
Πολλάκις δὲ μὲ κρύπτουσι καὶ κάποιοι βαβάδες
Οἱ προεστοί, οἱ ἔνδοξοι, ὅλοι οἱ γεροντάδες.
